LUCIANO

Συμπόσιον ἢ Λαπίθαι

EL BANQUETE

o LOS LAPITAS



TRADUCCIÓN Y NOTAS POR ANDRÉS ESPINOSA ALARCÓN

La traducción de este volumen ha sido revisada por ALFONSO MARTÍNEZ DÍEZ

Texto griego de Luciano:

http://mercure.fltr.ucl.ac.be/Hodoi/concordances/Lucien_Banquet/

17

EL BANQUETE O LOS LAPITAS
Συμπόσιον ἢ Λαπίθαι
Symposium

Diálogo genuinamente lucianesco, se inscribe, según R. Helm, en la diatriba satírica «menipea». A nuestro juicio, sin embargo, es una crítica genérica de la loca conducta humana, en que se ataca tanto a la burguesía (representada en el acaudalado y crédulo Aristéneto y en el banquero Éucrito, con sus respectivos vástagos, parientes y amigos), como al gremio de los filósofos (sin exceptuar escuela alguna, incluido el cínico Alcidamante, prototipo de grosería y agresividad; si alguien resulta menos mal tratado es el epicúreo Hermón) y al de los propios rétores y gramáticos, a que pertenece el autor (en las figuras de Dionisodoro e Histieo). Del variopinto grupo de comensales, tan sólo salva Luciano al «pueblo llano». En el c. 35 leemos: «Los papeles, pues, se habían invertido: el pueblo ignorante comía con gran moderación, sin muestras de embriaguez o inconveniencia; tan sólo reían y condenaban... a aquellos a quienes solían admirar, creyendo que eran personas de valía por sus vestiduras.» Toda la pedagogía lucianesca de la «educación práctica para la vida, motivadora directa de la acción», queda resumida en estas trascendentales premisas del c. 34: «La educación aparta del correcto pensar a quienes se ciñen rígidamente sólo a los libros y a su ideología»; y más arriba: «Para nada sirve aprender las ciencias, si no se ordena también la vida hacia el fin mejor.» El diálogo es, pues, un enérgico ataque, henchido de gracia y humor, contra los «intelectuales fatuos e hipócritas» y burgueses entontecidos que les siguen.

Parodia del solemne *Banquete* platónico y, a la vez, del literario mito de los lapitas y centauros (representados por «los intelectuales» en liza; cf. referencias en las notas), el propio Luciano participa en la acción adoptando su nombre helenizado (Licino), como mudo espectador de la vana locura humana. Por las razones antes apuntadas, no puede calificarse, en rigor, de negativa a ultranza, pues si bien los intelectuales de oficio son duramente zaheridos, no es menos cierto que se marca el norte positivo de la sencillez representada por el pueblo y la auténtica sabiduría, la que predica con el ejemplo de la propia vida (es imposible no recordar a Demonacte). Por su temática cabe, pues, incluirla dentro del grupo de obras críticas contra filósofos e intelectuales en general, tales como *El sueño o El gallo, Subastas de vidas, El pescador, Anacarsis, Doble acusación, Sobre el parásito, Los fugitivos, El eunuco,* etc.

Schwartz sitúa esta obra en el período intermedio de la producción lucianesca, en torno al 168 d. C.



EL BANQUETE O LOS LAPITAS
Συμπόσιον ἢ Λαπίθαι
Symposium

[1] (ΦΙΛΩΝ) Ποικίλην, ὦ Λυκῖνε, διατριβήν φασι γεγενῆσθαι ὑμῖν χθὲς ἐν Ἀρισταινέτου παρὰ τὸ δεῖπνον καί τινας λόγους φιλοσόφους εἰρῆσθαι καὶ ἔριν οὐ σμικρὰν συστῆναι ἐπ᾽ αὐτοῖς, εἰ δὲ μὴ ἐψεύδετο Χαρῖνος, καὶ ἄχρι τραυμάτων προχωρῆσαι τὸ πρᾶγμα καὶ τέλος αἵματι διαλυθῆναι τὴν συνουσίαν.

1 FILÓN. — Dicen que celebrasteis ayer una velada polifacética en casa de Aristéneto, durante la cena: se pronunciaron algunos discursos filosóficos y se suscitó una disputa no pequeña en torno a ellos; y, si Carino no ha mentido, la cuestión llegó hasta las heridas, y finalmente la reunión se disolvió con sangre.

(ΛΥΚΙΝΟΣ) Καὶ πόθεν, ὦ Φίλων, ἠπίστατο Χαρῖνος ταῦτα; οὐ γὰρ συνεδείπνει μεθ᾽ ἡμῶν.

LICINO. — ¿Y de dónde, Filón, ha sabido Carino eso? Porque no cenó con nosotros.

(ΦΙΛΩΝ) Διονίκου ἔφη τοῦ ἰατροῦ ἀκοῦσαι. Διόνικος δὲ καὶ αὐτός, οἶμαι, τῶν συνδείπνων ἦν.

FILÓN. — Dijo que lo había oído de Diónico, el médico. Pues Diónico sí creo que fue uno de los comensales.

(ΛΥΚΙΝΟΣ) Καὶ μάλα· οὐ μὴν ἐξ ἀρχῆς γε οὐδ᾽ αὐτὸς ἅπασι παρεγένετο, ἀλλὰ ὀψὲ μεσούσης σχεδὸν ἤδη τῆς μάχης ἐπέστη ὀλίγον πρὸ τῶν τραυμάτων. ὥστε θαυμάζω εἴ τι σαφὲς εἰπεῖν ἐδύνατο μὴ παρακολουθήσας ἐκείνοις, ἀφ᾽ ὧν ἀρξαμένη ἐς τὸ αἷμα ἐτελεύτησεν αὐτοῖς ἡ φιλονικία.

LICINO. — Por supuesto. Pero él no presenció todo el desarrollo desde el comienzo, sino que acudió tarde, casi mediada ya la batalla, poco antes de las heridas. Por ello me sorprende que pueda contar algo con exactitud, sin haber asistido a los acontecimientos de los que surgió la pendencia que terminó en sangre.

[2] (ΦΙΛΩΝ) Τοιγαροῦν, ὦ Λυκῖνε, καὶ ὁ Χαρῖνος αὐτός, εἰ βουλοίμεθα τἀληθῆ ἀκοῦσαι καὶ ὅπως ἐπράχθη ἕκαστα, παρὰ σὲ ἡμᾶς ἥκειν ἐκέλευε. καὶ τὸν Διόνικον γὰρ αὐτὸν εἰπεῖν ὡς αὐτὸς μὲν οὐ παραγένοιτο ἅπασι, σὲ δὲ ἀκριβῶς εἰδέναι τὰ γεγενημένα καὶ τοὺς λόγους αὐτοὺς ⟨ἂν⟩ ἀπομνημονεῦσαι ἅτε μὴ παρέργως τῶν τοιούτων ἀλλ᾽ ἐν σπουδῇ ἀκροώμενον. ὥστε οὐκ ἂν φθάνοις ἑστιῶν ἡμᾶς ἡδίστην ταύτην ἑστίασιν, ἧς οὐκ οἶδ᾽ εἴ τις ἡδίων ἔμοιγε, καὶ μάλιστα ὅσῳ νήφοντες ἐν εἰρήνῃ καὶ ἀναιμωτὶ ἔξω βέλους ἑστιασόμεθα, εἴτε γέροντες ἐπαρῴνησάν τι παρὰ τὸ δεῖπνον εἴτε νέοι, εἰπεῖν τε ὅσα

2 FILÓN. — Así es, Licino, y el propio Carino nos indicó, si queríamos oír la verdad y sus pormenores, que nos dirigiéramos a ti, ya que Diónico a su vez le confesó que no había presenciado personalmente todo el asunto, mientras que tú sabías con exactitud lo ocurrido, y podrías recordar las propias palabras, ya que no eres un oyente descuidado, sino atento, de tales cuestiones. Por tanto, es hora de que nos ofrezcas este agradabilísimo festín —no conozco ninguno más dulce para mí—, ante todo porque lo celebraremos sobrios, en paz y sin sangre, lejos de los tiros, ya fueran ancianos o jóvenes quienes se propasaran, impulsados

ἥκιστα ἐχρῆν ὑπὸ τοῦ ἀκράτου προαχθέντες καὶ πρᾶξαι.

por el vino puro a decir y hacer lo menos conveniente.

[3] (ΛΥΚΙΝΟΣ) Νεανικώτερα ἡμᾶς, ὦ Φίλων, ἀξιοῖς ἐκφέρειν ταῦτα πρὸς τοὺς πολλοὺς καὶ ἐπεξιέναι διηγουμένους πράγματα ἐν οἴνῳ καὶ μέθῃ γενόμενα, δέον λήθην ποιήσασθαι αὐτῶν καὶ νομίζειν ἐκεῖνα πάντα θεοῦ ἔργα τοῦ Διονύσου εἶναι, ὃς οὐκ οἶδα εἴ τινα τῶν αὑτοῦ ὀργίων ἀτέλεστον καὶ ἀβάκχευτον περιεῖδεν. ὅρα οὖν μὴ κακοήθων τινῶν ἀνθρώπων ἦ τὸ ἀκριβῶς τὰ τοιαῦτα ἐξετάζειν, ἃ καλῶς ἔχει ἐν τῷ συμποσίῳ καταλιπόντας ἀπαλλάττεσθαι. Μισῶ γάρ, φησὶ καὶ ὁ ποιητικὸς λόγος, μνάμονα συμπόταν. καὶ οὐδὲ ὁ Διόνικος ὀρθῶς ἐποίησε πρὸς τὸν Χαρῖνον ταῦτα ἐξαγορεύσας καὶ πολλὴν τὴν ἑωλοκρασίαν κατασκεδάσας ἀνδρῶν φιλοσόφων. ἐγὼ δέ, ἄπαγε, οὐκ ἄν τι τοιοῦτον εἴποιμι.

3 LICINO. — Cosas harto pueriles, Filón, me pides que saque a la luz pública, y refiera lo que ocurrió bajo los efectos del vino, cuando debiéramos olvidarlo y pensar que todo ello es obra del dios Dioniso, que no sé si ha dejado a alguien al margen de sus misterios y orgías. ¿No es, pues, propio de personas malintencionadas investigar minuciosamente tales asuntos, que debemos dejar en la sala del banquete al marcharnos? «Odio —reza el dicho poético— beber con quien recuerda»[1]. Diónico no hizo bien al revelarlo a Carino y verter las abundantes heces de las copas sobre unos varones filósofos. Por mi parte, puedes marchar, que nada del tema he de decirte.

[4] (ΦΙΛΩΝ) Θρύπτῃ ταῦτα, ὦ Λυκῖνε. ἀλλ᾽ οὔτι γε πρὸς ἐμὲ οὕτως ποιεῖν ἐχρῆν, ὃς ἀκριβῶς πολὺ πλέον ἐπιθυμοῦντά σε εἰπεῖν οἶδα ἢ ἐμὲ ἀκοῦσαι, καί μοι δοκεῖς, εἰ ἀπορήσειας τῶν ἀκουσομένων, κἂν πρὸς κίονά τινα ἢ πρὸς ἀνδριάντα ἡδέως ἂν προσελθὼν ἐκχέαι πάντα συνείρων ἀπνευστί. εἰ γοῦν ἐθελήσω ἀπαλλάττεσθαι νῦν, οὐκ ἐάσεις με ἀνήκοον ἀπελθεῖν, ἀλλ᾽ ἥξεις καὶ παρακολουθήσεις καὶ δεήσῃ. κἀγὼ θρύψομαι πρὸς σὲ ἐν τῷ μέρει· καί, εἴ γε δοκεῖ, ἀπίωμεν ἄλλου αὐτὰ πευσόμενοι, σὺ δὲ μὴ λέγε.

4 FILÓN. — Te haces de rogar en esto, Licino. Pero no deberías actuar así conmigo, que sé bien que deseas hablar mucho más que yo escuchar, y me parece que, de carecer de oyentes, te acercarías gustoso a una columna o a una estatua y verterías todo de corrido. Es más, si quisiera marchar ahora, no me dejarías partir sin escucharte; antes me sujetarías y seguirías entre súplicas. Y ahora, a mi vez, voy a hacerme de rogar por ti[2]. *(Se dirige al amigo que le acompaña.)* Si te parece, vayamos a enterarnos de labios de otro; y tú *(a Licino)* no digas nada.

(ΛΥΚΙΝΟΣ) Μηδὲν πρὸς ὀργήν· διηγήσομαι γάρ, ἐπείπερ οὕτως προθυμῇ, ἀλλ᾽ ὅπως μὴ πρὸς πολλοὺς ἐρεῖς.

LICINO. — No hay por qué enfadarse: te lo contaré, ya que tanto lo deseas, pero no lo divulgues.

(ΦΙΛΩΝ) Εἰ μὴ παντάπασιν ἐγὼ

FILÓN. — Si yo no me he olvidado por

[1] Aunque desconocido suena al estilo convival anacreóntico, el autor es del verso es también citado por PLUTARCO (Proemio a *Cuestiones convivales).*

[2] Parodia de PLATÓN, *Fedro* 228.

ἐπιλέλησμαι Λυκίνου, αὐτὸς σὺ ἄμεινον ποιήσεις αὐτὸ καὶ φθάσεις εἰπὼν ἅπασιν, ὥστε οὐδὲν ἐμοῦ δεήσῃ.

entero de quién es Licino, tú mismo lo harás mejor, y te anticiparás en referirlo a todos, de suerte que no habré de divulgarlo.

[5] ἀλλ᾽ ἐκεῖνό μοι πρῶτον εἰπέ, τῷ παιδὶ τῷ Ζήνωνι ὁ Ἀρισταίνετος ἀγόμενος γυναῖκα εἱστία ὑμᾶς;

5 Pero dime primero una cosa: ¿os invitó Aristéneto para celebrar la boda de su hijo Zenón?

(ΛΥΚΙΝΟΣ) Οὔκ, ἀλλὰ τὴν θυγατέρα ἐξεδίδου αὐτὸς τὴν Κλεανθίδα τῷ Εὐκρίτου τοῦ δανειστικοῦ, τῷ φιλοσοφοῦντι.

LICINO. — No: ha casado a su hija Cleántide con el hijo de Éucrito el banquero, con el estudiante de filosofía.

(ΦΙΛΩΝ) Παγκάλῳ νὴ Δία μειρακίῳ, ἁπαλῷ γε μὴν ἔτι καὶ οὐ πάνυ καθ᾽ ὥραν γάμων.

FILÓN. — Todo hermosura, por Zeus, es el joven, si bien tierno aún y no muy en sazón para el matrimonio.

(ΛΥΚΙΝΟΣ) Ἀλλ᾽ οὐκ εἶχεν ἄλλον ἐπιτηδειότερον, οἶμαι. τοῦτον οὖν κόσμιόν τε εἶναι δοκοῦντα καὶ πρὸς φιλοσοφίαν ὡρμημένον, ἔτι δὲ μόνον ὄντα πλουτοῦντι τῷ Εὐκρίτῳ, προείλετο νυμφίον ἐξ ἁπάντων.

LICINO. — No tendría otro más conveniente, supongo. Discreto al parecer y orientado hacia la filosofía, siendo además único heredero del acaudalado Éucrito, lo prefirió a todos los demás como novio de su hija.

(ΦΙΛΩΝ) Οὐ μικρὰν λέγεις αἰτίαν τὸ πλουτεῖν τὸν Εὔκριτον. ἀτὰρ οὖν, ὦ Λυκῖνε, τίνες οἱ δειπνοῦντες ἦσαν;

FILÓN. — No es pequeño motivo el que apuntas, la riqueza de Éucrito. Pero sigue, Licino. ¿Quiénes eran los comensales?

[6] (ΛΥΚΙΝΟΣ) Τοὺς μὲν ἄλλους τί ἄν σοι λέγοιμι; οἱ δὲ ἀπὸ φιλοσοφίας καὶ λόγων, οὕσπερ ἐθέλεις, οἶμαι, ἀκοῦσαι μάλιστα, Ζηνόθεμις ἦν ὁ πρεσβύτης ὁ ἀπὸ τῆς στοᾶς καὶ ξὺν αὐτῷ Δίφιλος ὁ Λαβύρινθος ἐπίκλην, διδάσκαλος οὗτος ὢν τοῦ Ἀρισταινέτου υἱέος τοῦ Ζήνωνος· τῶν δὲ ἀπὸ τοῦ περιπάτου Κλεόδημος, οἶσθα τὸν στωμύλον, τὸν ἐλεγκτικόν· Ξίφος αὐτὸν οἱ μαθηταὶ καὶ Κοπίδα καλοῦσιν. ἀλλὰ καὶ ὁ Ἐπικούρειος Ἕρμων παρῆν, καὶ εἰσελθόντα γε αὐτὸν εὐθὺς ὑπεβλέποντο οἱ Στωϊκοὶ καὶ ἀπεστρέφοντο καὶ δῆλοι ἦσαν ὥς τινα πατραλοίαν καὶ ἐναγῆ

6 LICINO. — ¿Para qué hablar de la totalidad? En cuanto a los filósofos y literatos, que son los que, imagino, más te interesan, se encontraba Zenótemis, el anciano del Pórtico[3] y con él Dífilo, el llamado Laberinto, maestro de Zenón, hijo de Aristéneto. Por el Perípato[4] estaba Cleodemo —ya lo conoces—, el parlanchín, el argumentador, a quien los alumnos llaman «Espada» y «Cuchillo». También estaba Hermón el epicúreo, y, cuando entró, los estoicos lo miraron con desprecio[5] y le dieron la espalda, manifestando la misma repulsión que hacia un parricida o un maldito. Todos

[3] Es decir, estoico, pues el fundador de la escuela, Zenón, solía enseñar en el Pórtico Policromo de Atenas.
[4] Literalmente «paseo», escuela de Aristóteles, que tenía el hábito de enseñar paseando. Cf. *Vida de Demonacte* 54 y nota.
[5] Los estoicos rechazaban el placer, propugnado como sumo bien por Epicuro.

μυσαττόμενοι. οὗτοι μὲν αὐτοῦ Ἀρισταινέτου φίλοι καὶ συνήθεις ὄντες παρεκέκληντο ἐπὶ δεῖπνον καὶ ξὺν αὐτοῖς ὁ γραμματικὸς Ἱστιαῖος καὶ ὁ ῥήτωρ Διονυσόδωρος.

ellos habían sido invitados a cenar como amigos y allegados del propio Aristéneto, y también se hallaban el gramático Histieo y el retórico Dionisodoro.

[7] διὰ δὲ τὸν νυμφίον τὸν Χαιρέαν Ἴων ὁ Πλατωνικὸς συνειστιᾶτο διδάσκαλος αὐτοῦ ὤν, σεμνός τις ἰδεῖν καὶ θεοπρεπὴς καὶ πολὺ τὸ κόσμιον ἐπιφαίνων τῷ προσώπῳ· Κανόνα γοῦν οἱ πολλοὶ ὀνομάζουσιν αὐτὸν εἰς τὴν ὀρθότητα τῆς γνώμης ἀποβλέποντες. καὶ ἐπεὶ παρῆλθεν ὑπεξανίσταντο πάντες αὐτῷ καὶ ἐδεξιοῦντο ὥς τινα τῶν κρειττόνων, καὶ ὅλως θεοῦ ἐπιδημία τὸ πρᾶγμα ἦν Ἴων ὁ θαυμαστὸς συμπαρών.

7 De parte de Quéreas, el novio, asistía a la fiesta Ión el platónico, maestro de éste, de aspecto solemne y divino, mostrando gran compostura en su rostro: a propósito, la gente le llama el «Canon», considerando la rectitud de su juicio; cuando apareció, se levantaron todos en su honor y lo recibieron como a un ser superior; en una palabra: fue la visita de un dios el advenimiento de Ión el maravilloso.

[8] Δέον δὲ ἤδη κατακλίνεσθαι ἁπάντων σχεδὸν παρόντων, ἐν δεξιᾷ μὲν εἰσιόντων αἱ γυναῖκες ὅλον τὸν κλιντῆρα ἐκεῖνον ἐπέλαβον, οὐκ ὀλίγαι οὖσαι, καὶ ἐν αὐταῖς ἡ νύμφη πάνυ ἀκριβῶς ἐγκεκαλυμμένη, ὑπὸ τῶν γυναικῶν περιεχομένη· ἐς δὲ τὸ ἀντίθυρον ἡ ἄλλη πληθύς, ὡς ἕκαστος ἀξίας εἶχε.

8 Llegado el momento de reclinarse, hallándose presentes casi todos, las mujeres, en no pequeño número, ocuparon por completo el diván que hay entrando a la derecha, y entre ellas estaba la novia, muy primorosamente velada, rodeada por las mujeres. Junto al vestíbulo se situó el restó del grupo, según la dignidad de cada uno.

[9] καταντικρὺ δὲ τῶν γυναικῶν πρῶτος ὁ Εὔκριτος, εἶτα Ἀρισταίνετος. εἶτα ἐνεδοιάζετο πότερον χρὴ πρότερον Ζηνόθεμιν τὸν Στωϊκὸν ἄτε γέροντα ἢ Ἕρμωνα τὸν Ἐπικούρειον, ἱερεὺς γὰρ ἦν τοῖν ἀνάκοιν καὶ γένους τοῦ πρώτου ἐν τῇ πόλει. ἀλλὰ ὁ Ζηνόθεμις ἔλυσε τὴν ἀπορίαν· Εἰ γάρ με, φησίν, ὦ Ἀρισταίνετε, δεύτερον ἄξεις Ἕρμωνος τουτουί, ἀνδρός, ἵνα μηδὲν ἄλλο κακὸν εἴπω, Ἐπικουρείου, ἄπειμι ὅλον σοι τὸ συμπόσιον καταλιπών. καὶ ἅμα τὸν παῖδα ἐκάλει καὶ ἐξιόντι ἐῴκει. καὶ ὁ Ἕρμων, Ἔχε μέν, ὦ Ζηνόθεμι, τὰ πρῶτα, ἔφη· ἀτὰρ εἰ καὶ μηδέν τι ἕτερον ἱερεῖ γε ὄντι ὑπεξίστασθαι καλῶς εἶχεν, εἰ καὶ τοῦ Ἐπικούρου ⟨τοῦ⟩ πάνυ καταπεφρόνηκας. Ἐγέλασα, ἦ δ΄ ὃς ὁ

9 Frente a las mujeres el primero era Éucrito, y a continuación Aristéneto. A continuación, surgió la duda entre dar prioridad a Zenótemis el estoico, en razón de su avanzada edad, o a Hermón el epicúreo, dado que era sacerdote de los Gemelos y del primer linaje de la ciudad. Pero Zenótemis resolvió el problema: «Aristéneto —dijo—, si me colocas detrás de ese individuo, un epicúreo, por no decir otra cosa peor, me marcho y te dejo con todo tu banquete», al tiempo que llamaba a su criado y hacía ademán de marcharse. Hermón contestó: «Ocupa el puesto anterior, Zenótemis; empero, aun cuando no hubiera otra razón, habrías hecho bien en cedérmelo por mi condición de sacerdote, por mucho que

Ζηνόθεμις, Ἐπικούρειον ἱερέα, καὶ ἅμα λέγων κατεκλίνετο καὶ μετ᾽ αὐτὸν ὅμως ὁ Ἕρμων, εἶτα Κλεόδημος ὁ Περιπατητικός, εἶτα ὁ Ἴων καὶ ὑπ᾽ ἐκεῖνον ὁ νυμφίος, εἶτ᾽ ἐγὼ καὶ παρ᾽ ἐμὲ ὁ Δίφιλος καὶ ὑπ᾽ αὐτῷ Ζήνων ὁ μαθητής, εἶτα ὁ ῥήτωρ Διονυσόδωρος καὶ ὁ γραμματικὸς Ἱστιαῖος.

despreciés a Epicuro». «Me haces reír —replicó Zenótemis—: ¡un sacerdote epicúreo!», al tiempo que se reclinaba, y Hermón a su lado, a pesar del incidente; luego lo hizo Cleodemo el peripatético, luego Ión y, más abajo, el novio; luego yo y a mi lado Dífilo, y más abajo Zenón, su discípulo; luego el retórico Dionisodoro y el gramático Histieo.

[10] (ΦΙΛΩΝ) Βαβαί, ὦ Λυκῖνε, μουσεῖόν τι τὸ συμπόσιον διηγῇ σοφῶν ἀνδρῶν τῶν πλείστων, καὶ ἔγωγε τὸν Ἀρισταίνετον ἐπαινῶ, ὅτι τὴν εὐκταιοτάτην ἑορτὴν ἄγων τοὺς σοφωτάτους ἑστιᾶν πρὸ τῶν ἄλλων ἠξίωσεν, ὅ τι περ τὸ κεφάλαιον ἐξ ἑκάστης αἱρέσεως ἀπανθισάμενος, οὐχὶ τοὺς μέν, τοὺς δὲ οὔ, ἀλλὰ ἀναμὶξ ἅπαντας.

10 FILÓN. — ¡Oh, Licino! Nos describes a una academia en este banquete lleno de eminencias. Yo, por mi parte, felicito a Aristéneto, que prefirió celebrar la fiesta más solemne con los más sabios, con preferencia a los hombres vulgares, y escogió la flor de cada escuela: no a unos sí y a otros no, sino a todos conjuntamente.

(ΛΥΚΙΝΟΣ) Ἔστι γάρ, ὦ ἑταῖρε, οὐχὶ τῶν πολλῶν τούτων πλουσίων, ἀλλὰ καὶ παιδείας μέλει αὐτῷ καὶ τὸ πλεῖστον τοῦ βίου τούτοις ξύνεστιν.

LICINO. — Porque no es, compañero, como la mayoría de esos adinerados, sino que se preocupa por la cultura y pasa la mayor parte de su tiempo con ellos.

[11] Εἱστιώμεθα οὖν ἐν ἡσυχίᾳ τὸ πρῶτον, καὶ παρεσκεύαστο ποικίλα. πλὴν οὐδὲν οἶμαι χρὴ καὶ ταῦτα καταριθμεῖσθαι, χυμοὺς καὶ πέμματα καὶ καρυκείας· ἅπαντα γὰρ ἄφθονα. ἐν τούτῳ δὲ ὁ Κλεόδημος ἐπικύψας ἐς τὸν Ἴωνα, Ὁρᾷς, ἔφη, τὸν γέροντα— Ζηνόθεμιν λέγων, ἐπήκουον γάρ—ὅπως ἐμφορεῖται τῶν ὄψων καὶ ἀναπέπλησται ζωμοῦ τὸ ἱμάτιον καὶ ὅσα τῷ παιδὶ κατόπιν ἑστῶτι ὀρέγει λανθάνειν οἰόμενος τοὺς ἄλλους, οὐ μεμνημένος τῶν μεθ᾽ αὑτόν; δεῖξον οὖν καὶ Λυκίνῳ ταῦτα, ὡς μάρτυς εἴη. ἐγὼ δὲ οὐδὲν ἐδεόμην δείξοντός μοι τοῦ Ἴωνος, πολὺ πρότερον αὐτὰ ἐκ περιωπῆς ἑωρακώς.

11 Comenzamos, pues, a cenar en paz al principio, y se sirvieron manjares variados, que no creo necesario enumerar —salsas, pasteles y condimentos—, todo en abundancia. En esto, Cleodemo se inclinó sobre Ión y le advirtió: «¿Ves al viejo? —refiriéndose a Zenótemis, y oyéndolo yo—. ¡Cómo se atiborra de manjares! ¡Se ha llenado de salsa el vestido! ¡Y cuántas viandas alarga a su criado, que está en pie a su espalda, creyendo no ser visto, sin reparar en cuantos le rodean! Indícaselo a Licino, para que sea testigo.» Pero yo no necesitaba que Ión me lo indicara, pues hacía mucho rato que lo estaba viendo desde mi puesto.

[12] Ἅμα οὖν ταῦτα ὁ Κλεόδημος εἰρήκει καὶ ἐπεισέπαισεν ὁ Κυνικὸς Ἀλκιδάμας ἄκλητος, ἐκεῖνο τὸ κοινὸν ἐπιχαριεντισάμενος, "τὸν Μενέλαον

12 Al terminar Cleodemo de decir esto irrumpió el cínico Alcidamante sin haber sido invitado, bromeando con aquel lugar común: «Menelao viene por propia deci-

αὐτόματον ἥκοντα". τοῖς μὲν οὖν πολλοῖς ἀναίσχυντα ἐδόκει πεποιηκέναι καὶ ὑπέκρουον τὰ προχειρότατα, ὁ μὲν τὸ "Ἀφραίνεις Μενέλαε," ὁ δ΄

sión»[6]. A muchos pareció que había cometido una desvergüenza, y le increpaban con las ocurrencias más inmediatas. Uno dijo: «Deliras, Menelao»[7]; y otro:

Ἀλλ΄ οὐκ Ἀτρεΐδῃ Ἀγαμέμνονι ἥνδανε θυμῷ,

Mas no agradó al Atrida Agamemnón en su ánimo[8]*;*

καὶ ⟨ἄλλοι⟩ ἄλλα πρὸς τὸν καιρὸν εὔστοχα καὶ χαρίεντα ὑποτονθορύζοντες· ἐς μέντοι τὸ φανερὸν οὐδεὶς ἐτόλμα λέγειν· ἐδεδοίκεσαν γὰρ τὸν Ἀλκιδάμαντα, βοὴν ἀγαθὸν ἀτεχνῶς ὄντα καὶ κρακτικώτατον κυνῶν ἁπάντων, παρ΄ ὃ καὶ ἀμείνων ἐδόκει καὶ φοβερώτατος ἦν ἅπασιν.

y así iban unos y otros pronunciando frases atinadas al caso y graciosas, mas nadie se atrevía a hablar a las claras, porque temían a Alcidamante, que era en verdad «de grito potente»[9] y el más ladrador de todos los perros[10], lo que le daba fama de ser el mejor y el más temible para todos.

[13] Ὁ δὲ Ἀρισταίνετος ἐπαινέσας αὐτὸν ἐκέλευε θρόνον τινὰ λαβόντα καθίζεσθαι παρ΄ Ἱστιαῖόν τε καὶ Διονυσόδωρον. ὁ δέ, Ἄπαγε, φησί, γυναικεῖον λέγεις καὶ μαλθακὸν ἐπὶ θρόνου καθίζεσθαι ἢ σκίμποδος, ὥσπερ ὑμεῖς ἐπὶ μαλακῆς ταύτης εὐνῆς μικροῦ δεῖν ὕπτιοι κατακείμενοι ἑστιᾶσθε πορφυρίδας ὑποβεβλημένοι· ἐγὼ δὲ κἂν ὀρθοστάδην δειπνήσαιμι ἐμπεριπατῶν ἅμα τῷ συμποσίῳ· εἰ δὲ καὶ κάμοιμι, χαμαὶ τὸν τρίβωνα ὑποβαλόμενος κείσομαι ἐπ΄ ἀγκῶνος οἷον τὸν Ἡρακλέα γράφουσιν. Οὕτως, ἔφη, γιγνέσθω, ὁ Ἀρισταίνετος, εἴ σοι ἥδιον. καὶ τὸ ἀπὸ τούτου περιὼν ἐν κύκλῳ ὁ Ἀλκιδάμας ἐδείπνει ὥσπερ οἱ Σκύθαι πρὸς τὴν ἀφθονωτέραν νομὴν μετεξανιστάμενος καὶ τοῖς περιφέρουσι τὰ ὄψα συμπερινοστῶν.

13 Aristéneto lo felicitó, y le invitó a tomar un sillón y a sentarse junto a Histieo y Dionisodoro, mas él replicó: «¡Quitá allá! Es de mujeres y afeminados eso que dices de sentarse en un sillón, o echarse en un lecho, como vosotros, que yacéis sobre este blando diván casi boca arriba, mientras os banqueteáis envueltos en púrpura. Yo, en cambio, voy a cenar de pie, al tiempo que paseo por el comedor; y si me canso, echaré a tierra mi manto y me tumbaré sobre el codo, como pintan a Heracles». «Sea así —respondió Aristéneto— si lo prefieres.» Y desde ese momento, Alcidamante andaba en derredor mientras cenaba, emigrando como los escitas, en busca de pastos más abundantes y siguiendo la ruta de quienes servían las viandas.

[14] καὶ μέντοι καὶ σιτούμενος ἐνεργὸς ἦν ἀρετῆς πέρι καὶ κακίας μεταξὺ διεξιὼν καὶ ἐς τὸν χρυσὸν καὶ τὸν ἄργυρον

14 Mientras comía desplegaba su actividad disertando acerca de la virtud y el vicio, y mofándose del oro y la plata: preguntaba,

---

[6] HOMERO, *Ilíada* II 408.
[7] *Ilíada* VII 109.
[8] *Ilíada* I 24.
[9] Al igual que Menelao es denominado en *Ilíada* II 408.
[10] Denominación de los cínicos; cf. *Vida de Demonacte* 21.

ἀποσκώπτων· ἠρώτα γοῦν τὸν Ἀρισταίνετον, τί βούλονται αὐτῷ αἱ τοσαῦται καὶ τηλικαῦται κύλικες τῶν κεραμεῶν ἴσον δυναμένων. ἀλλ᾽ ἐκεῖνον μὲν ἤδη διενοχλοῦντα ἔπαυσεν ἐς τὸ παρὸν Ἀρισταίνετος τῷ παιδὶ νεύσας εὐμεγέθη σκύφον ἀναδοῦναι αὐτῷ ζωρότερον ἐγχέαντα· καὶ ἐδόκει ἄριστα ἐπινενοηκέναι οὐκ εἰδὼς ὅσων κακῶν ἀρχὴν ὁ σκύφος ἐκεῖνος ἐνεδεδώκει. λαβὼν δὲ ἅμα ὁ Ἀλκιδάμας ἐσίγησε μικρὸν καὶ ἐς τοὔδαφος καταβαλὼν ἑαυτὸν ἔκειτο ἡμίγυμνος, ὥσπερ ἠπειλήκει, πήξας τὸν ἀγκῶνα ὀρθόν, ἔχων ἅμα τὸν σκύφον ἐν τῇ δεξιᾷ, οἷος ὁ παρὰ τῷ Φόλῳ Ἡρακλῆς ὑπὸ τῶν γραφέων δείκνυται.

por ejemplo, a Aristéneto qué significaban para él tantas y tan grandes copas, cuando las vasijas de barro servían a idéntico fin; pero Aristéneto puso fin momentáneamente a sus impertinencias al indicar al criado que le diese una gran escudilla llena de vino más puro; y creía haber tenido una excelente idea, sin saber cuántos males iba a originar la escudilla que le había dado. Tomóla Alcidamante, calló un momento, echóse al suelo, y yacía medio desnudo, como había amenazado, apoyado sobre el codo, con la escudilla en la derecha, igual que los pintores representan a Heracles en la mansión de Folo[11].

[15] Ἤδη δὲ καὶ ἐς τοὺς ἄλλους συνεχῶς περιεσοβεῖτο ἡ κύλιξ καὶ φιλοτησίαι καὶ ὁμιλίαι καὶ φῶτα εἰσεκεκόμιστο. ἐν τοσούτῳ δ᾽ ἐγὼ τὸν παρεστῶτα τῷ Κλεοδήμῳ παῖδα οἰνοχόον ὄντα ὡραῖον ἰδὼν ὑπομειδιῶντα—χρὴ γάρ, οἶμαι, καὶ ὅσα πάρεργα τῆς ἑστιάσεως εἰπεῖν, καὶ μάλιστα εἴ τι πρὸς τὸ γλαφυρώτερον ἐπράχθη—μάλα ἤδη παρεφύλαττον ὅ τι καὶ μειδιάσειε. καὶ μετὰ μικρὸν ὁ μὲν προσῆλθεν ὡς ἀποληψόμενος παρὰ τοῦ Κλεοδήμου τὴν φιάλην, ὁ δὲ τόν τε δάκτυλον ἀπέθλιψεν αὐτοῦ καὶ δραχμὰς δύο, οἶμαι, συνανέδωκε μετὰ τῆς φιάλης· ὁ παῖς δὲ πρὸς μὲν τὸν δάκτυλον θλιβόμενον αὖθις ἐμειδίασεν, οὐ μὴν συνεῖδεν, οἶμαι, τὸ νόμισμα, ὥστε μὴ δεξαμένου ψόφον αἱ δύο δραχμαὶ παρέσχον ἐκπεσοῦσαι, καὶ ἠρυθρίασαν ἄμφω μάλα σαφῶς. ἠπόρουν δὲ οἱ πλησίον οὗτινος εἴη τὰ νομίσματα, τοῦ μὲν παιδὸς ἀρνουμένου μὴ ἀποβεβληκέναι, τοῦ δὲ Κλεοδήμου, καθ᾽ ὃν ὁ ψόφος ἐγένετο, μὴ προσποιουμένου τὴν ἀπόρριψιν. ἠμελήθη οὖν καὶ παρώφθη τοῦτο οὐ πάνυ πολλῶν ἰδόντων πλὴν

15 Ya entonces la copa circulaba incesantemente entre los demás, se sucedían los brindis y los comentarios, y ya se habían encendido las luces. Entretanto, yo reparé que el criado que atendía a Cleodemo, un joven y hermoso copero, sonreía furtivamente —pues hay que referir, estimo, todas las anécdotas del festín, y en especial cuanto ocurrió con mayor interés—, y me puse a observar con atención por qué sonreía. Poco después se aproximó a recoger la copa de Cleodemo, y éste oprimió su dedo y le dio, creo, dos dracmas juntamente con la copa. El criado, al sentir su dedo oprimido, volvió a sonreír, pero al parecer no vio la moneda, de manera que, al no cogerlas, las dos dracmas cayeron produciendo ruido, y enrojecieron ambos ostensiblemente. Los de al lado se preguntaban de quién eran las monedas, mientras el criado negaba haberlas dejado caer, y Cleodemo, junto al cual habían sonado, fingía no haberlas perdido. Se olvidó el hecho y pasó inadvertido, pues no muchos lo notaron, excepto, sin duda, Aristéneto, ya que sustituyó al criado poco

[11] Centauro muerto por Heracles en el festín nupcial de Hipodamia, donde tuvo lugar la lucha entre lapitas y centauros. Luciano alude a alguna pintura famosa.

μόνου, ὡς ἐμοὶ ἔδοξε, τοῦ Ἀρισταινέτου· μετέστησε γὰρ τὸν παῖδα μικρὸν ὕστερον ἀφανῶς ὑπεξαγαγὼν καὶ τῷ Κλεοδήμῳ τινὰ παραστῆναι διένευσε τῶν ἐξώρων ἤδη καὶ καρτερῶν, ὀρεωκόμον τινὰ ἢ ἱπποκόμον. καὶ τοῦτο μὲν ὧδέ πως ἐκεχωρήκει, μεγάλης αἰσχύνης αἴτιον ⟨ἂν⟩ τῷ Κλεοδήμῳ γενόμενον, εἰ ἔφθη διαφοιτῆσαν εἰς ἅπαντας, ἀλλὰ μὴ κατέσβη αὐτίκα, δεξιῶς πάνυ τοῦ Ἀρισταινέτου τὴν παροινίαν ἐνέγκαντος.

después mandándole retirarse disimuladamente, y asignó para servir a Cleodemo a uno de edad avanzada y robusto, mozo de mulas o de cuadra. Así se resolvió el incidente, que habría sido motivo de gran vergüenza para Cleodemo, si se hubiera propalado rápidamente entre todos, en lugar de sofocarse al instante, gracias al modo sumamente hábil de afrontar Aristéneto la inconveniencia.

[16] Ὁ Κυνικὸς δὲ Ἀλκιδάμας, ἐπεπώκει γὰρ ἤδη, πυθόμενος ἥτις ἡ γαμουμένη παῖς καλοῖτο, σιωπὴν παραγγείλας μεγάλῃ τῇ φωνῇ ἀποβλέψας ἐς τὰς γυναῖκας, Προπίνω σοι, ἔφη, ὦ Κλεανθί, Ἡρακλέους ἀρχηγέτου. ὡς δ᾽ ἐγέλασαν ἐπὶ τούτῳ ἅπαντες, Ἐγελάσατε, εἶπεν, ὦ καθάρματα, εἰ τῇ νύμφῃ προὔπιον ἐπὶ τοῦ ἡμετέρου θεοῦ τοῦ Ἡρακλέους; καὶ μὴν εὖ εἰδέναι χρὴ ὡς, ἢν μὴ λάβῃ παρ᾽ ἐμοῦ τὸν σκύφον, οὔποτε τοιοῦτος ἂν υἱὸς αὐτῇ γένοιτο οἷος ἐγώ, ἄτρεπτος μὲν ἀλκήν, ἐλεύθερος δὲ τὴν γνώμην, τὸ σῶμα δὲ οὕτω καρτερός· καὶ ἅμα παρεγύμνου ἑαυτὸν μᾶλλον ἄχρι πρὸς τὸ αἴσχιστον. αὖθις ἐπὶ τούτοις ἐγέλασαν οἱ συμπόται, καὶ ὃς ἀγανακτήσας ἐπανίστατο δριμὺ καὶ παράφορον βλέπων καὶ δῆλος ἦν οὐκέτι εἰρήνην ἄξων. τάχα δ᾽ ἄν τινος καθίκετο τῇ βακτηρίᾳ, εἰ μὴ κατὰ καιρὸν εἰσεκεκόμιστο πλακοῦς εὐμεγέθης, πρὸς ὃν ἀποβλέψας ἡμερώτερος ἐγένετο καὶ ἔληξε τοῦ θυμοῦ καὶ ἐνεφορεῖτο συμπεριών.

16 El cínico Alcidamante, que estaba ya bebido, preguntó el nombre de la novia, mandó guardar silencio, y con voz potente, dirigiéndose a las mujeres, dijo: «Brindo por ti, Cleántide, a Heracles, mi soberano». Y como todos rieran por esto, exclamó: «¿Os reís, miserables, porque he brindado por la desposada a nuestro dios Heracles? Pues debéis saber que, si no acepta beber de mi escudilla, jamás tendrá un hijo como yo, inconmovible en valor, libre en pensamiento, y en su cuerpo así de fuerte», al tiempo que se desnudaba más, hasta las partes pudendas. De nuevo los invitados se rieron de esto, y él, irritado, se levantó con mirada fiera y extraviada, dispuesto evidentemente a no permanecer ya en paz. Al punto habría golpeado a algunos con su bastón, si no hubieran traído oportunamente un pastel enorme, ante cuya imagen se tornó más sereno, cesó en su cólera y empezó a atiborrarse mientras iba en derredor suyo.

[17] καὶ οἱ πλεῖστοι ἐμέθυον ἤδη καὶ βοῆς μεστὸν ἦν τὸ συμπόσιον· ὁ μὲν γὰρ Διονυσόδωρος ὁ ῥήτωρ αὐτοῦ ῥήσεις τινὰς ἐν μέρει διεξῄει καὶ ἐπηνεῖτο ὑπὸ τῶν κατόπιν ἐφεστώτων οἰκετῶν, ὁ δὲ Ἱστιαῖος ὁ γραμματικὸς ἐρραψῴδει ὕστερος κατακείμενος καὶ συνέφερεν ἐς τὸ αὐτὸ τὰ

17 Los más estaban ya ebrios y el comedor lleno de griterío. Dionisodoro el retórico pronunciaba pasajes de discursos antitéticos, y era aplaudido por los sirvientes que estaban en pie tras él. Histieo el gramático, que yacía a continuación, recitaba entremezclando versos de Píndaro, Hesíodo

Πινδάρου καὶ Ἡσιόδου καὶ Ἀνακρέοντος, ὡς ἐξ ἁπάντων μίαν ᾠδὴν παγγέλοιον ἀποτελεῖσθαι, μάλιστα δ᾽ ἐκεῖνα ὥσπερ προμαντευόμενος τὰ μέλλοντα,

σὺν δ᾽ ἔβαλον ῥινούς·

καὶ

ἔνθα δ᾽ ἄρ᾽ οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν.

ὁ Ζηνόθεμις δ᾽ ἀνεγίνωσκε παρὰ τοῦ παιδὸς λαβὼν λεπτόγραμμόν τι βιβλίον.

y Anacreonte, resultando de todo ello un único poema totalmente ridículo, sobre todo en aquel pasaje en que decía, como profetizando el porvenir,

entrechocaron los escudos entre sí[12],

y

allí fue el gemido y el alarde de los guerreros[13].

Mientras, Zenótemis leía un libro de letra menuda que le entregara su criado.

[18] Διαλιπόντων δὲ ὀλίγον, ὥσπερ εἰώθασι, τῶν παρακομιζόντων τὰ ὄψα μηχανώμενος Ἀρισταίνετος μηδ᾽ ἐκεῖνον ἀτερπῆ τὸν καιρὸν εἶναι μηδὲ κενὸν ἐκέλευσε τὸν γελωτοποιὸν εἰσελθόντα εἰπεῖν τι ἢ πρᾶξαι γελοῖον, ὡς ἔτι μᾶλλον οἱ συμπόται διαχυθεῖεν. καὶ παρῆλθεν ἄμορφός τις ἐξυρημένος τὴν κεφαλήν, ὀλίγας ἐπὶ τῇ κορυφῇ τρίχας ὀρθὰς ἔχων· οὗτος ὠρχήσατό τε κατακλῶν ἑαυτὸν καὶ διαστρέφων, ὡς γελοιότερος φανείη, καὶ ἀνάπαιστα συγκροτῶν διεξῆλθεν αἰγυπτιάζων τῇ φωνῇ, καὶ τέλος ἐπέσκωπτεν ἐς τοὺς παρόντας.

18 Al interrumpir los camareros un rato el servicio, como es costumbre, trató Aristéneto de que ni siquiera aquel momento resultara inatractivo y vacío, y mandó entrar al bufón para que dijera o hiciera algo gracioso, a fin de que los invitados se regocijaran aún más. Y apareció un tipo feo, con la cabeza rapada, y unos cuantos cabellos erizados en la coronilla; el hombre bailó contorsionándose y girando para resultar más ridículo, y marcando el ritmo recitó sátiras anapésticas con acento egipcio; por último, gastó bromas a los presentes.

[19] οἱ μὲν οὖν ἄλλοι ἐγέλων ὁπότε σκωφθεῖεν, ἐπεὶ δὲ καὶ εἰς τὸν Ἀλκιδάμαντα ὅμοιόν τι ἀπέρριψε Μελιταῖον κυνίδιον προσειπὼν αὐτόν, ἀγανακτήσας ἐκεῖνος—καὶ πάλαι δὲ δῆλος ἦν φθονῶν αὐτῷ εὐδοκιμοῦντι καὶ κατέχοντι τὸ συμπόσιον —ἀπορρίψας τὸν τρίβωνα προὐκαλεῖτό οἱ παγκρατιάζειν, εἰς δὲ μή, κατοίσειν αὐτοῦ ἔφη τὴν βακτηρίαν. οὕτω δὴ ὁ κακοδαίμων ὁ Σατυρίων—τοῦτο

19 Todos se reían al recibir las bromas, pero cuando lanzó una invectiva del mismo tono contra Alcidamante, llamándolo «cachorro melitense»[14], el aludido se enfureció —hacía rato que se mostraba celoso de su éxito y de que mantuviera la atención de la sala—, despojóse de su sayal, y le desafió a la lucha del pancracio; de lo contrario, decía, se iba a llevar un recuerdo de su bastón. De este modo el pobre Satirión, que así se llamaba el

[12] *Ilíada* IV 447.
[13] *Ilíada* IV 450.
[14] Tal vez alude no al gentilicio «maltés», sino al habitante del demo ateniense de Mélita, donde se veneraba a Heracles, protector de los cínicos.

γὰρ ὁ γελωτοποιὸς ἐκαλεῖτο—συστὰς ἐπαγκρατίαζε. καὶ τὸ πρᾶγμα ὑπερήδιστον ἦν, φιλόσοφος ἀνὴρ γελωτοποιῷ ἀνταιρόμενος καὶ παίων καὶ παιόμενος ἐν τῷ μέρει. οἱ παρόντες δὲ οἱ μὲν ἠδοῦντο, οἱ δὲ ἐγέλων, ἄχρι ἀπηγόρευσε παιόμενος ὁ Ἀλκιδάμας ὑπὸ συγκεκροτημένου ἀνθρωπίσκου καταγωνισθείς. γέλως οὖν πολὺς ἐξεχύθη ἐπ᾽ αὐτοῖς.

cómico, se plantó a luchar: la cuestión era de lo más divertido, un filósofo peleando con un bufón, dando y recibiendo puñetazos a su vez. De los asistentes, unos se hallaban violentos, otros reían, hasta que Alcidamante terminó de recibir su paliza de manos de un bien entrenado hombrecillo. Naturalmente, una risa general estalló en la sala.

[20] Ἐνταῦθα Διόνικος ἐπεισῆλθεν ὁ ἰατρὸς οὐ πολὺ κατόπιν τοῦ ἀγῶνος· ἐβεβραδύκει δέ, ὡς ἔφασκε, φρενίτιδι ἑαλωκότα θεραπεύων Πολυπρέποντα τὸν αὐλητήν. καί τι καὶ γελοῖον διηγήσατο· ἔφη μὲν γὰρ εἰσελθεῖν παρ᾽ αὐτὸν οὐκ εἰδὼς ἐχόμενον ἤδη τῷ πάθει, τὸν δὲ ταχέως ἀναστάντα ἐπικλεῖσαί τε τὴν θύραν καὶ ξιφίδιον σπασάμενον ἀναδόντα αὐτῷ τοὺς αὐλοὺς κελεύειν αὐλεῖν· εἶτα ἐπεὶ μὴ δύναιτο, παίειν σκῦτος ἔχοντα ἐς ὑπτίας τὰς χεῖρας. τέλος οὖν ἐν τοσούτῳ κινδύνῳ ἐπινοῆσαι τοιόνδε· ἐς ἀγῶνα γὰρ προκαλέσασθαι αὐτὸν ἐπὶ ῥητῷ πληγῶν ἀριθμῷ, καὶ πρῶτον μὲν αὐτὸς αὐλῆσαι πονηρῶς, μετὰ δὲ παραδοὺς τοὺς αὐλοὺς ἐκείνῳ δέξασθαι παρ᾽ αὐτοῦ τὸ σκῦτος· καὶ τὸ ξιφίδιον ἀπορρῖψαι τάχιστα διὰ τῆς φωταγωγοῦ ἐς τὸ ὕπαιθρον τῆς αὐλῆς, καὶ τὸ ἀπὸ τούτου ἀσφαλέστερος ἤδη προσπαλαίων αὐτῷ ἐπικαλεῖσθαι τοὺς γειτνιῶντας, ὑφ᾽ ὧν ἀνασπασάντων τὸ θύριον σωθῆναι αὐτός. ἐδείκνυε δὲ καὶ σημεῖα τῶν πληγῶν καὶ ἀμυχάς τινας ἐπὶ τοῦ προσώπου. Καὶ ὁ μὲν Διόνικος οὐ μεῖον εὐδοκιμήσας τοῦ γελωτοποιοῦ ἐπὶ τῇ διηγήσει πλησίον τοῦ Ἰστιαίου παραβύσας ἑαυτὸν ἐδείπνει ὅσα λοιπά, οὐκ ἄνευ θεοῦ τινος ἡμῖν ἐπιπαρών, ἀλλὰ καὶ πάνυ

20 A la sazón entró Diónico, el médico, no mucho después del combate. Habíase retrasado, según dijo, por atender a un aquejado de demencia, a Polipreponte el flautista; y contó una historia divertida: dijo que había penetrado en su estancia sin saber que era ya presa del padecimiento; Polipreponte saltó del lecho rápidamente, cerró la puerta y, desenvainando un cuchillo, le entregó las flautas y le ordenó que tocara; y, como no pudiera, le golpeaba con un látigo en las palmas de las manos; por último, en tan grave situación de peligro, Diónico ideó esta estratagema: le retó a un certamen con un número convenido de azotes para el perdedor, y en primer lugar él tocó defectuosamente; luego entregó las flautas a Polipreponte y recibió de éste el látigo y el cuchillo, que arrojó rápidamente por la ventana a la parte descubierta del patio; a partir de entonces, ya más seguro, mientras luchaba con él pedía socorro a los vecinos, que derribaron la puerta y lo salvaron. Y mostraba señales de los azotes y algunos arañazos en su rostro.
Diónico, que no había alcanzado menor éxito que el bufón en su relato, reclinóse apretadamente junto a Histieo, y cenaba de lo que había quedado: no sin la intervención de algún dios se había sumado a nosotros; al contrario, resultó muy útil ante lo que sucedió después.

[21] χρήσιμος τοῖς μετὰ ταῦτα

21 Apareció, a la sazón, en el centro de la

γεγενημένος. παρελθὼν γάρ τις εἰς τὸ μέσον οἰκέτης παρ᾽ Ἑτοιμοκλέους ἥκειν λέγων τοῦ Στωϊκοῦ γραμματίδιον ἔχων κελεῦσαί οἱ ἔφη τὸν δεσπότην ἐν τῷ κοινῷ ἀναγνόντα εἰς ἐπήκοον ἅπασιν ὀπίσω αὖθις ἀπαλλάττεσθαι. ἐφέντος οὖν τοῦ Ἀρισταινέτου προσελθὼν πρὸς τὸν λύχνον ἀνεγίνωσκεν.

sala un criado de Hetémocles el estoico, diciendo ser portador de un escrito que su amo le había ordenado leer en público para conocimiento de todos, para luego retirarse y regresar. Con el permiso de Aristéneto se aproximó a la lámpara y lo leyó.

(ΦΙΛΩΝ) Ἦ που, ὦ Λυκῖνε, τῆς νύμφης ἐγκώμιον ἢ ἐπιθαλάμιον, οἷα πολλὰ ποιοῦσιν;

FILÓN. — Sería, Licino, un elogio de la novia, o un epitalamio, como hacen con frecuencia.

(ΛΥΚΙΝΟΣ) Ἀμέλει καὶ ἡμεῖς τοιοῦτόν τι ᾠήθημεν, ἀλλ᾽ οὐδ᾽ ἐγγὺς ἦν τούτου· ἐνεγέγραπτο γάρ·

LICINO. — Naturalmente, también nosotros creímos algo así, pero ni se aproximaba a ello. El escrito decía:

[22] Ἑτοιμοκλῆς φιλόσοφος Ἀρισταινέτῳ.

22 «Hetémocles el filósofo a Aristéneto.

Ὅπως μὲν ἔχω πρὸς δεῖπνα ὁ παρεληλυθώς μοι βίος ἅπας μαρτύριον ἂν γένοιτο, ὅς γε ὁσημέραι πολλῶν ἐνοχλούντων παρὰ πολὺ σοῦ πλουσιωτέρων ὅμως οὐδὲ πώποτε φέρων ἐμαυτὸν ἐπέδωκα εἰδὼς τοὺς ἐπὶ τοῖς συμποσίοις θορύβους καὶ παροινίας. ἐπὶ σοῦ δὲ μόνου εἰκότως ἀγανακτῆσαί μοι δοκῶ, ὃς τοσοῦτον χρόνον ὑπ᾽ ἐμοῦ λιπαρῶς τεθεραπευμένος οὐκ ἠξίωσας ἐναριθμῆσαι κἀμὲ τοῖς ἄλλοις φίλοις, ἀλλὰ μόνος ἐγώ σοι ἄμοιρος, καὶ ταῦτα ἐν γειτόνων οἰκῶν. ἀνιῶμαι οὖν ἐπὶ σοὶ τὸ πλέον οὕτως ἀχαρίστῳ φανέντι· ἐμοὶ γὰρ ἡ εὐδαιμονία οὐκ ἐν ὑὸς ἀγρίου μοίρᾳ ἢ λαγωοῦ ἢ πλακοῦντος, ἃ παρ᾽ ἄλλοις ἀφθόνως ἀπολαύω τὰ καθήκοντα εἰδόσιν, ἐπεὶ καὶ τήμερον παρὰ τῷ μαθητῇ Παμμένει δειπνῆσαι πολυτελές, ὥς φασι, δεῖπνον δυνάμενος οὐκ ἐπένευσα ἱκετεύοντι, σοὶ ὁ ἀνόητος ἐμαυτὸν φυλάττων.

»Mi postura ante los banquetes puede inferirse de toda mi vida pasada; yo, que, aun cuando a diario me han importunado muchos hombres bastante más ricos que tú, sin embargo, jamás he transigido en acudir, conocedor de los alborotos y excesos de los banquetes. Por ti tan sólo creo haberme irritado razonablemente, ya que, después de haber gozado de mis magníficos servicios durante tanto tiempo, no te dignaste contarme entre los demás amigos, sino que sólo yo soy para ti ajeno al reparto, pese a vivir en la casa de al lado. Estoy, por tanto, afligido, principalmente por ti, porque te hayas mostrado tan ingrato, que para mí la felicidad no consiste en una ración de cerdo agreste, liebre o pastel —que obtengo abundantemente de otros que conocen su obligación, puesto que hoy mismo habría podido cenar, y opíparamente según dicen, con mi discípulo Pámenes, mas no accedí a sus súplicas, tonto de mí, reservándome para ti.

[23] σὺ δὲ ἡμᾶς παραλιπὼν ἄλλους εὐωχεῖς, εἰκότως· οὔπω γὰρ δύνασαι

23 »Tú, en cambio, nos desprecias e invitas a otros, sin duda porque aún eres incapaz de

διακρίνειν τὸ βέλτιον οὐδὲ τὴν καταληπτικὴν φαντασίαν ἔχεις. ἀλλὰ οἶδα ὅθεν μοι ταῦτα, παρὰ τῶν θαυμαστῶν σου φιλοσόφων, Ζηνοθέμιδος καὶ Λαβυρίνθου, ὧν—ἀπείη δὲ ἡ Ἀδράστεια—συλ– λογισμῷ ἑνὶ ἀποφράξαι ἄν μοι τάχιστα δοκῶ τὰ στόματα. ἢ εἰπάτω τις αὐτῶν, τί ἐστὶ φιλοσοφία; ἢ τὰ πρῶτα ταῦτα, τί διαφέρει σχέσις ἕξεως; ἵνα μὴ τῶν ἀπόρων εἴπω τι, κερατίναν ἢ σωρείτην ἢ θερίζοντα λόγον. Ἀλλὰ σὺ μὲν ὄναιο αὐτῶν. ἐγὼ δὲ ὡς ἂν μόνον τὸ καλὸν ἀγαθὸν ἡγούμενος εἶναι οἴσω ῥᾳδίως τὴν ἀτιμίαν.

distinguir el bien y no posees la facultad de aprehender la realidad. Mas sé de dónde me viene esto, de tus maravillosos filósofos, Zenótemis y el 'Laberinto', cuyas bocas podría acallar —con permiso de Adrastea— mediante un solo silogismo. Que explique alguno de ellos qué es la filosofía, o, respecto de los primeros principios, en qué se diferencia la cualidad del estado[15]; por no proponer una cuestión insoluble, como la de los cuernos, el montón o el segador[16].
»Que te sean de provecho. En cuanto a mí, por considerar que sólo lo decoroso es bueno, soportaré fácilmente el desprecio.

[24] καίτοι ὅπως μὴ ἐς ἐκείνην ἔχῃς καταφεύγειν τὴν ἀπολογίαν ὕστερον, ἐπιλαθέσθαι λέγων ἐν τοσούτῳ θορύβῳ καὶ πράγμασι, δίς σε τήμερον προσηγόρευσα καὶ ἕωθεν ἐπὶ τῇ οἰκίᾳ καὶ ἐν τῷ ἀνακείῳ θύοντα ὕστερον. ταῦτα ἐγὼ τοῖς παροῦσιν ἀπολελόγημαι.

24 »Sin embargo, para que no puedas refugiarte más tarde en el argumento de que te olvidaste en medio de tanta agitación y actividad, dos veces te saludé hoy, al alba en tu casa y en el templo de los Dióscuros cuando sacrificabas más tarde. Con estas palabras me he justificado ante los asistentes.

[25] Εἰ δὲ δείπνου ἕνεκα ὀργίζεσθαί σοι δοκῶ, τὸ κατὰ τὸν Οἰνέα ἐννόησον· ὄψει γὰρ καὶ τὴν Ἄρτεμιν ἀγανακτοῦσαν, ὅτι μόνην αὐτὴν οὐ παρέλαβεν ἐκεῖνος ἐπὶ τὴν θυσίαν τοὺς ἄλλους θεοὺς ἑστιῶν. φησὶ δὲ περὶ αὐτῶν Ὅμηρος ὧδέ πως·

25 »Pero si crees que estoy irritado sólo por una cena, piensa en el relato de Eneo y verás que la propia Artemis se indignó por ser la única a quien aquél no acogió, habiendo invitado a los demás dioses, y dice Homero al respecto algo así:

ἢ λάθετ᾽ ἢ οὐκ ἐνόησεν, ἀάσατο δὲ μέγα θυμῷ·

Fuera olvido o inadvertencia, cometió gran falta en su ánimo[17];

καὶ Εὐριπίδης·

Eurípides:

Καλυδὼν μὲν ἥδε γαῖα, Πελοπίας χθονὸς ἐν ἀντιπόρθμοις, πεδί᾽ ἔχους᾽ εὐδαίμονα.

De Calidón ésta es la tierra, del territorio de Pélope
en las márgenes opuestas, de fértiles llanuras[18];

[15] Es decir, lo esencial de lo accidental en los seres.
[16] Sofismas: «Todos tenemos lo que no hemos perdido, tú no has perdido los cuernos, luego tienes cuernos»; «un grano hace un montón»; el segador no puede segar; cf. *Subasta de vidas* 22.
[17] *Ilíada* IX 537.
[18] De *Meleagro,* drama perdido de EURÍPIDES, *Fr.* 515 NAUCK.

καὶ Σοφοκλῆς·

συὸς μέγιστον χρῆμ΄ ἐπ΄ Οἰνέως γύαις
ἀνῆκε Λητοῦς παῖς ἑκηβόλος θεά.

[26]Ταῦτά σοι ἀπὸ πολλῶν ὀλίγα παρεθέμην, ὅπως μάθῃς οἷον ἄνδρα παραλιπὼν Δίφιλον ἑστιᾷς καὶ τὸν υἱὸν αὐτῷ παραδέδωκας, εἰκότως· ἡδὺς γάρ ἐστι τῷ μειρακίῳ καὶ πρὸς χάριν αὐτῷ σύνεστιν. εἰ δὲ μὴ αἰσχρὸν ἦν ἐμὲ λέγειν τὰ τοιαῦτα, κἄν τι προσέθηκα, ὅπερ σύ, εἰ θέλεις, παρὰ Ζωπύρου τοῦ παιδαγωγοῦ αὐτοῦ μάθοις ἂν ἀληθὲς ὄν. ἀλλ΄ οὐ χρὴ ταράττειν ἐν γάμοις οὐδὲ διαβάλλειν ἄλλους, καὶ μάλιστα ἐφ΄ οὕτως αἰσχραῖς αἰτίαις· καὶ γὰρ εἰ Δίφιλος ἄξιος δύο ἤδη μαθητάς μου περισπάσας, ἀλλ΄ ἔγωγε φιλοσοφίας αὐτῆς ἕνεκα σιωπήσομαι.

[27] Προσέταξα δὲ τῷ οἰκέτῃ τούτῳ, ἢν διδῷς αὐτῷ μοῖράν τινα ἢ συὸς ἢ ἐλάφου ἢ σησαμοῦντος, ὡς ἐμοὶ διακομίσειεν καὶ ἀντὶ τοῦ δείπνου ἀπολογία γένοιτο, μὴ λαβεῖν, μὴ καὶ δόξωμεν ἐπὶ τούτῳ πεπομφέναι.

[28] Τούτων, ὦ ἑταῖρε, ἀναγινωσκομένων μεταξὺ ἱδρώς τέ μοι περιεχεῖτο ὑπ΄ αἰδοῦς, καὶ τοῦτο δὴ τὸ τοῦ λόγου, χανεῖν μοι τὴν γῆν ηὐχόμην ὁρῶν τοὺς παρόντας γελῶντας ἐφ΄ ἑκάστῳ καὶ μάλιστα ὅσοι ἤδεσαν τὸν Ἑτοιμοκλέα, πολιὸν ἄνθρωπον καὶ σεμνὸν εἶναι δοκοῦντα. ἐθαύμαζον οὖν οἷος ὢν διαλάθοι αὐτοὺς ἐξαπατωμένους τῷ πώγωνι καὶ τῇ τοῦ προσώπου ἐντάσει. ὁ γὰρ Ἀρισταίνετος ἐδόκει μοι οὐκ ἀμελείᾳ παριδεῖν αὐτόν, ἀλλ΄ οὔποτ΄ ἂν ἐλπίσας κληθέντα ἐπινεῦσαι οὐδ΄ ἂν ἐμπαρασχεῖν ἑαυτὸν τοιούτῳ τινί· ὥστε οὐδὲ τὴν ἀρχὴν πειρᾶσθαι ἠξίου.

y Sófocles:

Un jabalí monstruoso sobre los campos de Eneo
arrojó la hija de Leto, la diosa flechadora[19].

26 »Estos pocos argumentos te he expuesto de entre muchos, a fin de que comprendas a qué gran hombre has abandonado para invitar a Dífilo, a quien has confiado a tu hijo, probablemente porque es amable con el jovencito y anda con él para complacerle. Si no fuera bochornoso para mí decir ciertas cosas, habría añadido aún algo más, que tú, si quieres, podrás conocer con garantías de veracidad de Zópiro, el pedagogo; mas no hay que alterarse en una boda y difamar al prójimo, sobre todo con acusaciones tan vergonzosas. Si bien Dífilo lo merece por haberme ya arrebatado dos discípulos, yo pese a todo guardaré silencio en gracia a la Filosofía misma.

27 »He dado instrucciones a mi criado —en el caso de que le des una porción de cerdo, ciervo o pastel de sésamo, para que me lo traiga y sirva de excusa a cambio del banquete— de no aceptarla, no parezca que le he enviado con esa finalidad.»

28 Mientras se leían estos párrafos, compañero, me bañaba el sudor de vergüenza y, como dice el refrán, pedía que me tragara la tierra mientras veía a los presentes reír ante cada frase, en especial quienes conocían a Hetémocles, hombre canoso y de porte solemne. Se admiraban de que, siendo como era, les hubiera engañado sin apercibirse, por su barba y la altivez de su rostro. Aristéneto, al parecer, no había omitido la invitación por inadvertencia, sino por creer que, de invitarle, no hubiera aceptado ni se hubiera ofrecido para algo semejante; así estimó que no debía ni

[19] Del drama del mismo nombre, perdido asimismo, de SÓFOCLES, *Fr.* 369 NAUCK.

intentarlo.

[29] ἐπεὶ δ᾽ οὖν ἐπαύσατό ποτε ὁ οἰκέτης ἀναγινώσκων, τὸ μὲν συμπόσιον ἅπαν εἰς τοὺς ἀμφὶ τὸν Ζήνωνα καὶ Δίφιλον ἀπέβλεπε δεδοικότας καὶ ὠχριῶντας καὶ τῇ ἀπορίᾳ τῶν προσώπων ἐπαληθεύοντας τὰ ὑπὸ τοῦ Ἑτοιμοκλέους κατηγορηθέντα· ὁ Ἀρισταίνετος δὲ ἐτετάρακτο καὶ θορύβου μεστὸς ἦν, ἐκέλευε δ᾽ ὅμως πίνειν ἡμᾶς καὶ ἐπειρᾶτο εὖ διατίθεσθαι τὸ γεγονὸς ὑπομειδιῶν ἅμα, καὶ τὸν οἰκέτην ἀπέπεμψεν εἰπὼν ὅτι ἐπιμελήσεται τούτων. μετ᾽ ὀλίγον δὲ καὶ ὁ Ζήνων ὑπεξανέστη ἀφανῶς, τοῦ παιδαγωγοῦ νεύσαντος ἀπαλλάττεσθαι: ὡς κελεύσαντος τοῦ πατρός.

29 Cuando el criado hubo terminado de leer, la concurrencia entera dirigió sus miradas a Zenón y Dífilo, temblorosos y pálidos, avalando con las perplejidad de sus rostros las acusaciones de Hetémocles. Aristéneto se hallaba turbado y lleno de inquietud, si bien nos exhortaba, pese a todo, a beber, y trataba de llevar a bien el incidente entre sonrisas; así despidió al criado, diciéndole que se ocuparía del asunto. Un poco después, Zenón dejó su puesto subrepticiamente, y el pedagogo hizo ademán de marcharse so pretexto de que su padre se lo había ordenado.

[30] Ὁ Κλεόδημος δὲ καὶ πάλαι τινὸς ἀφορμῆς δεόμενος—ἐβούλετο γὰρ συμπλακῆναι τοῖς Στωϊκοῖς καὶ διερρήγνυτο οὐκ ἔχων ἀρχὴν εὔλογον—τότε οὖν τὸ ἐνδόσιμον παρασχούσης τῆς ἐπιστολῆς, Τοιαῦτα, ἔφη, ἐξεργάζεται ὁ καλὸς Χρύσιππος καὶ Ζήνων ὁ θαυμαστὸς καὶ Κλεάνθης, ῥημάτια δύστηνα καὶ ἐρωτήσεις μόνον καὶ σχήματα φιλοσόφων, τὰ δ᾽ ἄλλα Ἑτοιμοκλεῖς οἱ πλεῖστοι· καὶ αἱ ἐπιστολαὶ ὁρᾶτε ὅπως πρεσβυτικαί, καὶ τὸ τελευταῖον Οἰνεὺς μὲν Ἀρισταίνετος, Ἑτοιμοκλῆς δὲ Ἄρτεμις. Ἡράκλεις, εὔφημα πάντα καὶ ἑορτῇ πρέποντα.

30 Cleodemo, desde hacia rato, aguardaba una ocasión, pues quería arremeter contra los estoicos y estaba a punto de estallar al no encontrar un comienzo adecuado. A la sazón la carta le brindó el pretexto, y dijo: «Cosas de esa jaez consigue el noble Crisipo, Zenón el maravilloso y Cleantes, frasecillas desafortunadas, preguntas sin respuesta y vestiduras de filósofos, pero en lo demás la mayoría son unos Hetémocles. En cuanto a las cartas, observad cómo lo son de ancianos, y para colmo Aristéneto es Eneo y Hetémocles Artemis. ¡Por Heracles! Todo ello es de buen tono y propio de una fiesta».

[31] Νὴ Δί᾽, εἶπεν ὁ Ἕρμων ὑπερκατακείμενος· ἀκηκόει γάρ, οἶμαι, ὗν τινα ἐσκευάσθαι Ἀρισταινέτῳ ἐς τὸ δεῖπνον, ὥστε οὐκ ἄκαιρον ᾤετο μεμνῆσθαι τοῦ Καλυδωνίου. ἀλλὰ πρὸς τῆς Ἑστίας, ὦ Ἀρισταίνετε, πέμπε ὡς τάχιστα τῶν ἀπαρχῶν, μὴ καὶ φθάσῃ ὁ πρεσβύτης ὑπὸ λιμοῦ ὥσπερ ὁ Μελέαγρος ἀπομαρανθείς. καίτοι οὐδὲν ἂν πάθοι δεινόν·

31 «Por Zeus —dijo Hermón, reclinado más arriba—, había oído, sin duda, que Aristéneto tenía preparado jabalí para la cena, de suerte que no le pareció inoportuno referirse al de Calidón. Por Hestia, Aristéneto, envíale en seguida tus presentes, antes de que el viejo se consuma de hambre como Meleagro. No obstante, no sufriría ningún mal, pues Crisipo consideraba indiferentes tales cuestiones»[20].

[20] Para los estoicos, las cuestiones humanas eran: buenas, y a ellas debía tenderse; malas, y debían evitarse; o

[32] ἀδιάφορα γὰρ ὁ Χρύσιππος τὰ τοιαῦτα ἡγεῖτο εἶναι. Χρυσίππου γὰρ μέμνησθε ὑμεῖς, ἔφη ὁ Ζηνόθεμις ἐπεγείρας ἑαυτὸν καὶ φθεγξάμενος παμμέγεθες, ἢ ἀφ᾽ ἑνὸς ἀνδρὸς οὐκ ἐννόμως φιλοσοφοῦντος, Ἑτοιμοκλέους τοῦ γόητος, μετρεῖτε τὸν Κλεάνθην καὶ Ζήνωνα, σοφοὺς ἄνδρας; τίνες δὴ καὶ ὄντες ὑμεῖς ἐρεῖτε ταῦτα; οὐ σὺ μὲν τῶν Διοσκούρων ἤδη, ὦ Ἕρμων, τοὺς πλοκάμους περικέκαρκας χρυσοῦς ὄντας καὶ δώσεις δίκην παραδοθεὶς τῷ δημίῳ, σὺ δὲ τὴν Σωστράτου γυναῖκα τοῦ μαθητοῦ ἐμοίχευες, ὦ Κλεόδημε, καὶ καταληφθεὶς τὰ αἴσχιστα ἔπαθες; οὐ σιωπήσεσθε οὖν τοιαῦτα συνεπιστάμενοι αὑτοῖς; Ἀλλ᾽ οὐ μαστροπὸς ἐγὼ τῆς ἐμαυτοῦ γυναικός, ἦ δ᾽ ὃς ὁ Κλεόδημος, ὥσπερ σύ, οὐδὲ τοῦ ξένου μαθητοῦ λαβὼν τοὐφόδιον παρακαταθήκας ἔπειτα ὤμοσα κατὰ τῆς Πολιάδος μὴ εἰληφέναι, οὐδ᾽ ἐπὶ τέτταρσι δραχμαῖς δανείζω, οὐδὲ ἄγχω τοὺς μαθητάς, ἢν μὴ κατὰ καιρὸν ἀποδῶσι τοὺς μισθούς. Ἀλλ᾽ ἐκεῖνο, ἔφη ὁ Ζηνόθεμις, οὐκ ἂν ἔξαρνος γένοιο μὴ οὐχὶ φάρμακον ἀποδόσθαι Κρίτωνι ἐπὶ τὸν πατέρα.

32 «¿De Crisipo hacéis mención vosotros? —dijo Zenótemis, despertándose, a grandes gritos—. ¿Acaso por un solo individuo que no filosofa correctamente, Hetémocles el charlatán, medís a Cleantes y Zenón, sabios varones? ¿Quiénes sois vosotros para decir eso? ¿No has llegado tú, Hermón, a cortar los rizos de los Dióscuros por ser de oro? Ya pagarás la pena cuando seas entregado al verdugo. En cuanto a ti, Cleodemo, te entendías con la mujer de Sóstrato, tu discípulo, y cuando te cogieron sufriste los más humillantes castigos. ¿No callaréis, pues, conscientes de tales pecados?» «Sin embargo, yo no soy rufián[21] de mi propia mujer, como tú —replicó Cleodemo—, ni he recibido de un discípulo extranjero el viático en depósito, para jurar luego por Atenea Políade[22] no haberlo recibido, ni presto dinero al cuatro por ciento, ni estrangulo a mis discípulos cuando no me pagan puntualmente los honorarios.» «Sin embargo, no podrás negar —replicó Zenótemis— lo del veneno que vendiste a Critón para su padre.»

[33] Καὶ ἅμα, ἔτυχε γὰρ πίνων, ὁπόσον ἔτι λοιπὸν ἐν τῇ κύλικι, περὶ ἥμισυ σχεδόν, κατεσκέδασεν αὐτοῖν. ἀπέλαυσε δὲ καὶ ὁ Ἴων τῆς γειτονήσεως, οὐκ ἀνάξιος ὤν. ὁ μὲν οὖν Ἕρμων ἀπεξύετο ἐκ τῆς κεφαλῆς τὸν ἄκρατον προνενευκὼς καὶ τοὺς παρόντας ἐμαρτύρετο, οἷα ἐπεπόνθει. ὁ Κλεόδημος δέ—οὐ γὰρ εἶχε κύλικα—ἐπιστραφεὶς προσέπτυσέν τε τὸν Ζηνόθεμιν καὶ τῇ ἀριστερᾷ τοῦ πώγωνος λαβόμενος ἔμελλε παίσειν κατὰ κόρρης, καὶ ἀπέκτεινεν ἂν τὸν γέροντα, εἰ μὴ Ἀρισταίνετος ἐπέσχε τὴν χεῖρα καὶ ὑπερβὰς τὸν Ζηνόθεμιν ἐς τὸ μέσον αὐτοῖν κατεκλίθη, ὡς διασταῖεν ὑπὸ διατειχίσματι

33 Al tiempo, bebiendo como estaba, arrojó sobre ambos cuanto quedaba en su copa, la mitad aproximadamente. También Ión participó de su vecindad, no sin merecerlo. Hermón, por su parte, sacudía el vino de su cabeza, inclinado hacia adelante, y tomaba a los presentes por testigos de la afrenta sufrida. Pero Cleodemo, que no tenía copa, volvióse y escupió a Zenótemis, y además, cogiéndole con la izquierda de la barba, se disponía a golpearle en la sien, y habría matado al viejo si Aristéneto no hubiera detenido su mano y, pasando por delante de Zenótemis, se hubiera reclinado en medio de ellos, para que quedaran distanciados por su

---

indiferentes, que ni debían perseguirse ni rehuirlas.

[21] Griego *mastropós* «corruptor».

[22] «Protectora de la Ciudad».

αὐτῷ εἰρήνην ἄγοντες.

separación y se mantuvieran en paz.

[34] Ἐν ὅσῳ δὲ ταῦτ᾽ ἐγίνετο, ποικίλα, ὦ Φίλων, ἐγὼ πρὸς ἐμαυτὸν ἐνενόουν τὸ πρόχειρον ἐκεῖνο, ὡς οὐδὲν ὄφελος ἦν ἄρα ἐπίστασθαι τὰ μαθήματα, εἰ μή τις καὶ τὸν βίον ῥυθμίζοι πρὸς τὸ βέλτιον· ἐκείνους γοῦν περιττοὺς ὄντας ἐν τοῖς λόγοις ἑώρων γέλωτα ἐπὶ τῶν πραγμάτων ὀφλισκάνοντας. ἔπειτα δὲ εἰσήει με, μὴ ἄρα τὸ ὑπὸ τῶν πολλῶν λεγόμενον ἀληθὲς ᾖ καὶ τὸ πεπαιδεῦσθαι ἀπάγῃ τῶν ὀρθῶν λογισμῶν τοὺς ἐς μόνα τὰ βιβλία καὶ τὰς ἐν ἐκείνοις φροντίδας ἀτενὲς ἀφορῶντας· τοσούτων γοῦν φιλοσόφων παρόντων οὐδὲ κατὰ τύχην ἕνα τινὰ ἔξω ἁμαρτήματος ἦν ἰδεῖν, ἀλλ᾽ οἱ μὲν ἐποίουν αἰσχρά, οἱ δ᾽ ἔλεγον αἰσχίω· οὐδὲ γὰρ ἐς τὸν οἶνον ἔτι ἀναφέρειν εἶχον τὰ γινόμενα λογιζόμενος οἷα ὁ Ἑτοιμοκλῆς ἄσιτος ἔτι καὶ ἄποτος ἐγεγράφει.

34 Mientras ocurría todo eso, Filón, yo agitaba en mi interior pensamientos diversos, como el hecho palmario de que para nada sirve aprender las ciencias, si no se ordena también la vida hacia el fin mejor. De aquéllos, en efecto, aun cuando fueran distinguidos en sus palabras, advertía que por sus hechos provocaban la risa. Luego me asaltó la idea de que pudiera ser cierto el tópico común, y que la educación aparta del correcto pensar a quienes se ciñen rígidamente sólo a los libros y a su ideología. En efecto, de tantos filósofos allí presentes, ni por casualidad era posible dar con uno libre de culpa, sino que unos cometían acciones vergonzosas y otros hablaban de modo más vergonzoso aún; ni siquiera podía atribuir al vino lo ocurrido, al reparar en lo que Hetémocles había escrito aun sin comer ni beber.

[35] ἀνέστραπτο οὖν τὸ πρᾶγμα, καὶ οἱ μὲν ἰδιῶται κοσμίως πάνυ ἑστιώμενοι οὔτε παροινοῦντες οὔτε ἀσχημονοῦντες ἐφαίνοντο, ἀλλ᾽ ἐγέλων μόνον καὶ κατεγίνωσκον αὐτῶν, οἶμαι, οὕς γε ἐθαύμαζον οἰόμενοί τινας εἶναι ἀπὸ τῶν σχημάτων, οἱ σοφοὶ δὲ ἠσέλγαινον καὶ ἐλοιδοροῦντο καὶ ὑπερενεπίμπλαντο καὶ ἐκεκράγεσαν καὶ εἰς χεῖρας ἦεσαν. ὁ θαυμάσιος δὲ Ἀλκιδάμας καὶ ἐνούρει ἐν τῷ μέσῳ οὐκ αἰδούμενος τὰς γυναῖκας. καὶ ἐμοὶ ἐδόκει, ὡς ἂν ἄριστά τις εἰκάσειεν, ὁμοιότατα εἶναι τὰ ἐν τῷ συμποσίῳ οἷς περὶ τῆς Ἔριδος οἱ ποιηταὶ λέγουσιν· οὐ γὰρ κληθεῖσαν αὐτὴν ἐς τοῦ Πηλέως τὸν γάμον ῥῖψαι τὸ μῆλον εἰς τὸ σύνδειπνον, ἀφ᾽ οὗ τοσοῦτον πόλεμον ἐπ᾽ Ἰλίῳ γεγενῆσθαι. καὶ ὁ Ἑτοιμοκλῆς τοίνυν ἐδόκει μοι τὴν ἐπιστολὴν ἐμβαλὼν ἐς τὸ

35 Los papeles, pues, se habían invertido: el pueblo ignorante comía con gran moderación, sin muestras de embriaguez o inconveniencia; tan sólo reían y condenaban, sin duda, a aquellos a quienes solían admirar, creyendo que eran personas de valía por sus vestiduras. Los sabios, en cambio, eran insolentes, se ultrajaban, comían sin moderación, gritaban y llegaban a las manos. El admirable Alcidamante hasta se orinó en medio del comedor[23], sin respetar a las mujeres. Parecíame, por emplear la mejor comparación, que la situación del banquete era muy semejante a lo que cuentan los poetas de la Discordia: que, al no haber sido ella invitada a la boda de Peleo, arrojó la manzana entre los comensales, y de allí se originó la gran guerra de Troya. Pues bien, Hetémocles, a mi parecer, al lanzar su carta

[23] Los cínicos hacían gala de despreciar los convencionalismos sociales y de actuar según los dictados de la naturaleza, como los animales.

μέσον ὥσπερ τι μῆλον οὐ μείω τῆς Ἰλιάδος κακὰ ἐξεργάσασθαι.

en medio como una manzana, causó males no inferiores a los de la *Ilíada.*

[36] Οὐ γὰρ ἐπαύσαντο οἱ ἀμφὶ τὸν Ζηνόθεμιν καὶ Κλεόδημον φιλονικοῦντες, ἐπεὶ μέσος αὐτῶν ὁ Ἀρισταίνετος ἐγένετο· ἀλλά, Νῦν μέν, ἔφη ὁ Κλεόδημος, ἱκανόν, εἰ ἐλεγχθείητε ἀμαθεῖς ὄντες, αὔριον δὲ ἀμυνοῦμαι ὑμᾶς ὅντινα καὶ χρὴ τρόπον· ἀπόκριναί μοι οὖν, ὦ Ζηνόθεμι, ἢ σὺ ἢ ὁ κοσμιώτατος Δίφιλος, καθ᾽ ὅ τι ἀδιάφορον εἶναι λέγοντες τῶν χρημάτων τὴν κτῆσιν οὐδὲν ἀλλ᾽ ἢ τοῦτο ἐξ ἁπάντων σκοπεῖτε ὡς πλείω κτήσεσθε καὶ διὰ τοῦτο ἀμφὶ τοὺς πλουσίους ἀεὶ ἔχετε καὶ δανείζετε καὶ τοκογλυφεῖτε καὶ ἐπὶ μισθῷ παιδεύετε, πάλιν τε αὖ τὴν ἡδονὴν μισοῦντες καὶ τῶν Ἐπικουρείων κατηγοροῦντες αὐτοὶ τὰ αἴσχιστα ἡδονῆς ἕνεκα ποιεῖτε καὶ πάσχετε, ἀγανακτοῦντες εἴ τις μὴ καλέσειεν ἐπὶ δεῖπνον· εἰ δὲ καὶ κληθείητε, τοσαῦτα μὲν ἐσθίοντες, τοσαῦτα δὲ τοῖς οἰκέταις ἐπιδιδόντες—καὶ ἅμα λέγων τὴν ὀθόνην περισπᾶν ἐπεχείρει, ἣν ὁ παῖς εἶχε τοῦ Ζηνοθέμιδος, μεστὴν οὖσαν παντοδαπῶν κρεῶν, καὶ ἔμελλε λύσας ἀπορρίπτειν αὐτὰ ἐς τὸ ἔδαφος, ἀλλ᾽ ὁ παῖς οὐκ ἀνῆκε καρτερῶς ἀντεχόμενος.

36 Zenótemis y Cleodemo no cesaron de disputar cuando Aristéneto se situó en medio de ellos. «Ahora —dijo Cleodemo— será suficiente con que quedéis convictos de vuestra ignorancia: mañana os daré vuestro justo merecido; contéstame, por tanto, Zenótemis, o tú, prudentísimo Dífilo, por qué razón, si decís que es «indiferente» la adquisición de los bienes materiales, no pensáis jamás en otra cosa sino en conseguir más, y por eso os movéis siempre alrededor de los ricos, hacéis de prestamista, cobráis intereses usurarios y enseñáis a sueldo; además, aunque odiáis el placer y censuráis a los epicúreos, vosotros mismo hacéis y padecéis las más vergonzosas humillaciones por causa del placer, indignándoos si alguien no os invita a cenar; si sois invitados, coméis una buena porción y entregáis por añadidura otro tanto a vuestros criados». Mientras decía esto, trataba de arrebatar el lienzo que tenía el esclavo de Zenótemis, lleno de carnes variadas; a punto estuvo de desatarlo y arrojarlo todo al suelo, mas el esclavo, reteniéndolo fuertemente, se lo impidió.

[37] καὶ ὁ Ἕρμων, Εὖ γε, ἔφη, ὦ Κλεόδημε, εἰπάτωσαν οὗτινος ἕνεκα ἡδονῆς κατηγοροῦσιν αὐτοὶ ἥδεσθαι ὑπὲρ τοὺς ἄλλους ἀξιοῦντες. Οὔκ, ἀλλὰ σύ, ἦ δ᾽ ὃς ὁ Ζηνόθεμις, εἰπέ, ὦ Κλεόδημε, καθ᾽ ὅ τι οὐκ ἀδιάφορον ἡγῇ τὸν πλοῦτον. Οὐ μὲν οὖν, ἀλλὰ σύ. καὶ ἐπὶ πολὺ τὸ τοιοῦτον ἦν, ἄχρι δὴ ὁ Ἴων προκύψας εἰς τὸ ἐμφανέστερον, Παύσασθε, ἔφη· ἐγὼ γάρ, εἰ δοκεῖ, λόγων ἀφορμὰς ὑμῖν ἀξίων τῆς παρούσης ἑορτῆς καταθήσω ἐς τὸ μέσον· ὑμεῖς δὲ ἀφιλονίκως ἐρεῖτε καὶ ἀκούσεσθε ὥσπερ ἀμέλει καὶ παρὰ τῷ ἡμετέρῳ Πλάτωνι ἐν λόγοις ἡ πλείστη διατριβὴ ἐγένετο. πάντες ἐπῄνεσαν οἱ παρόντες, καὶ μάλιστα οἱ

37 Hermón añadió: «Bien, Cleodemo, que nos expliquen por qué razón censuran el placer precisamente ellos, cuando pretenden gozar más que nadie». «No —replicó Zenótemis—, explica tú, Cleodemo, por qué no consideras indiferente la riqueza.» «En modo alguno; hazlo tú.» Así estuvieron mucho rato, hasta que Ión se inclinó para hacerse más visible y dijo: «Callad. Yo, si os parece, os plantearé abiertamente temas de debate propios de la celebración presente; vosotros, sin ánimo de disputa, hablaréis y escucharéis; que así es como, en nuestros textos de Platón, transcurre la mayor parte del tiempo, en diálogo.» Todos los presentes

ἀμφὶ τὸν Ἀρισταίνετόν τε καὶ Εὔκριτον, ἀπαλλάξασθαι τῆς ἀηδίας οὕτω γοῦν ἐλπίσαντες. καὶ μετῆλθέν τε ὁ Ἀρισταίνετος ἐπὶ τὸν αὑτοῦ τόπον εἰρήνην γεγενῆσθαι ἐλπίσας,

aplaudieron, y sobre todo Aristéneto y Éucrito, que esperaban así al menos superar la odiosa situación. Regresó Aristéneto a su lugar, confiado en que habría paz.

[38] καὶ ἅμα εἰσεκεκόμιστο ἡμῖν τὸ ἐντελὲς ὀνομαζόμενον δεῖπνον, μία ὄρνις ἑκάστῳ καὶ κρέας ὑὸς καὶ λαγῷα καὶ ἰχθὺς ἐκ ταγήνου καὶ σησαμοῦντες καὶ ὅσα ἐντραγεῖν, καὶ ἐξῆν ἀποφέρεσθαι ταῦτα. προὔκειτο δὲ οὐχ ἓν ἑκάστῳ πινάκιον, ἀλλ᾽ Ἀρισταινέτῳ μὲν καὶ Εὐκρίτῳ ἐπὶ μιᾶς τραπέζης κοινόν, καὶ τὰ παρ᾽ αὑτῷ ἑκάτερον ἐχρῆν λαβεῖν· Ζηνοθέμιδι δὲ τῷ Στωϊκῷ καὶ Ἕρμωνι τῷ Ἐπικουρείῳ ὁμοίως κοινὸν καὶ τούτοις· εἶτα ἑξῆς Κλεοδήμῳ καὶ Ἴωνι, μεθ᾽ οὓς τῷ νυμφίῳ καὶ ἐμοί, τῷ Διφίλῳ δὲ τὰ ἀμφοῖν, ὁ γὰρ Ζήνων ἀπεληλύθει. καὶ μέμνησό μοι τούτων, ὦ Φίλων, διότι δή ἐστί τι καὶ ἐν αὐτοῖς χρήσιμον ἐς τὸν λόγον.

38 Al tiempo, nos servían la llamada «cena completa»: una gallina por persona, carne de jabalí y de liebre, pescado a la plancha, pasteles de sésamo y dulces variados; estaba permitido llevársela. No había una bandeja independiente para cada comensal, sino que Aristéneto y Éucrito la compartían en una mesa, y cada uno debía tomar los manjares próximos a sí. De igual modo, Zenótemis el estoico y Hermón el epicúreo debían compartirla; luego seguían Cleodemo e Ión, y tras ellos el novio y yo; Dífilo, en cambio, tenía dos raciones, pues Zenón se había marchado: hazme el favor de recordar bien esto, Filón, porque es algo importante, en este caso, para seguir el relato.

(ΦΙΛΩΝ) Μεμνήσομαι δή.

FILÓN. — Me acordaré, pues.

[39] (ΛΥΚΙΝΟΣ) Ὁ τοίνυν Ἴων, Πρῶτος οὖν ἄρχομαι, ἔφη, εἰ δοκεῖ. καὶ μικρὸν ἐπισχών, Ἔχρῆν μὲν ἴσως, ἔφη, τοιούτων ἀνδρῶν παρόντων περὶ ἰδεῶν τε καὶ ἀσωμάτων εἰπεῖν καὶ ψυχῆς ἀθανασίας· ἵνα δὲ μὴ ἀντιλέγωσί μοι ὁπόσοι μὴ κατὰ ταὐτὰ φιλοσοφοῦσιν, περὶ γάμων ἐρῶ τὰ εἰκότα. τὸ μὲν οὖν ἄριστον ἦν μὴ δεῖσθαι γάμων, ἀλλὰ πειθομένους Πλάτωνι καὶ Σωκράτει παιδεραστεῖν· μόνοι γοῦν οἱ τοιοῦτοι ἀποτελεσθεῖεν ἂν πρὸς ἀρετήν· εἰ δὲ δεῖ καὶ γυναικείου γάμου, κατὰ τὰ Πλάτωνι δοκοῦντα κοινὰς εἶναι ἐχρῆν τὰς γυναῖκας, ὡς ἔξω ζήλου εἴημεν.

39 — Ión propuso: «Primero empiezo yo, si os parece»; tras una pequeña pausa, continuó: «deberíamos tal vez, hallándose presentes tales eminencias, tratar de las ideas, de los entes incorpóreos y de la inmortalidad del alma, pero, a fin de que no se me opongan cuantos no siguen los mismos sistemas filosóficos, trataré adecuadamente el tema del matrimonio. Lo mejor sería no necesitar del matrimonio, sino, siguiendo a Platón y Sócrates, amar a los jóvenes[24]; al menos, sólo quienes procedan así pueden alcanzar la perfección en virtud. Mas, si es preciso casarse con mujeres, de acuerdo con la tesis de Platón deberían ser comunes las esposas, para que estuviéramos exentos de celos».

[24] Griego *paiderasteîn* «practicar la pederastia». Es evidente la inoportunidad de una diatriba contra el matrimonio en el contexto de un banquete nupcial. Cf. 40.

[40] Γέλως ἐπὶ τούτοις ἐγένετο ὡς οὐκ ἐν καιρῷ λεγομένοις. Διονυσόδωρος δέ, Παῦσαι, ἔφη, βαρβαρικὰ ἡμῖν ᾄδων· ποῦ γὰρ εὑρίσκοιμεν τὸν ζῆλον ἐπὶ τούτου καὶ παρὰ τίνι; Καὶ σὺ γὰρ φθέγγῃ, κάθαρμα; εἶπεν ὁ Ἴων, καὶ Διονυσόδωρος ἀντελοιδορεῖτο τὰ εἰκότα. ἀλλ᾽ ὁ γραμματικὸς Ἱστιαῖος ὁ βέλτιστος,

40 Estas palabras desencadenaron la risa, toda vez que no eran pronunciadas en momento oportuno. Dionisodoro intervino: « ¡Déjanos de monsergas bárbaras! Pues ¿dónde hallaríamos los celos[25] en ese caso, y en quién?» «¿Precisamente tú abres la boca, desgraciado?», exclamó Ión, mientras Dionisodora replicaba con adecuados improperios. El gramático Histieo, de muy buena fe, intervino: «Callad, que os voy a leer un epitalamio». Y comenzó a leerlo.

[41] Παύσασθε, ἔφη· ἐγὼ γὰρ ὑμῖν ἐπιθαλάμιον ἀναγνώσομαι.
καὶ ἀρξάμενος ἀνεγίνωσκεν. ἦν δὲ ταῦτα, εἴ γε μέμνημαι, τὰ ἐλεγεῖα· Ἦ οἵη ποτ᾽ ἄρ᾽ ἦ γ᾽ Ἀρισταινέτου ἐν μεγάροισι δῖα Κλεανθὶς ἄνασ᾽ ἐτρέφετ᾽ ἐνδυκέως, προὔχους᾽ ἀλλάων πασάων παρθενικάων, κρέσσων τῆς Κυθέρης ἠδ᾽ αὐτῆς Ἑλένης. νυμφίε, καὶ σὺ δὲ χαῖρε, † κρατερῶν κράτιστε ἐφήβων †, κρέσσων Νιρῆος καὶ Θέτιδος παϊδός. ἄμμες δὴ αὖθ᾽ ὑμῖν τοῦτον θαλαμήϊον ὕμνον ξυνὸν ἐπ᾽ ἀμφοτέροις πολλάκις ᾀσόμεθα.

41 Así eran los versos, si mal no recuerdo:

O como la que antaño de Aristéneto en palacio,
divina Cleántide soberana, crecía irreprochable,
superando a todas las otras doncellas,
más bella que la Citerea y Helena a un tiempo.
Novio, a ti también saludo, entre hermosos el más hermoso efebo,
más hermoso que Nireo y el hijo de Tetis;
y nos a vosotros este himno nupcial
común a entrambos mil veces cantaremos[26].

[42] Γέλωτος οὖν ἐπὶ τούτοις, ὡς τὸ εἰκός, γενομένου ἀρέσθαι ἤδη τὰ παρακείμενα ἔδει, καὶ ἀνείλοντο οἱ ἀμφὶ τὸν Ἀρισταίνετον καὶ Εὔκριτον τὰ πρὸ αὑτοῦ ἑκάτερος κἀγὼ τἀμὰ καὶ ὁ Χαιρέας ὅσα ἐκείνῳ ἔκειτο καὶ Ἴων ὁμοίως καὶ ὁ Κλεόδημος. ὁ δὲ Δίφιλος ἠξίου καὶ τὰ τῷ Ζήνωνι δὴ ἀπόντι παραδοθέντα φέρεσθαι καὶ ἔλεγε μόνῳ οἱ παρατεθῆναι αὐτὰ καὶ πρὸς τοὺς διακόνους ἐμάχετο, καὶ ἀντέσπων τῆς ὄρνιθος ἀντεπειλημμένοι ὥσπερ τὸν Πατρόκλου νεκρὸν ἀνθέλκοντες, καὶ τέλος ἐνικήθη καὶ ἀφῆκε

42 El poema produjo risa, como es natural; y llegó al fin el momento de tomar lo que habían colocado ante nosotros. Aristéneto y Éucrito tomaron cada uno la parte próxima a ellos; yo también la mía; Quéreas tomó lo que le habían servido, al igual que Ión y Cleodemo. Pero Dífilo pretendía también llevarse lo servido a Zenón, ausente, y decía que se lo habían traído para él solo, llegando a pelearse con los camareros, que tiraban de la gallina aferrados cual si trataran de arrastrar el cadáver de Patroclo: finalmente fue vencido y la dejó escapar, motivando

[25] El retórico Dionisodoro, como experto en el uso del lenguaje, censura a Ión el platónico por emplear abusivamente el término *zēlos* «celo, ardor, emulación», genérico, en el sentido específico de *zēlotypía* «celos amorosos».
[26] Es difícil, por mala que sea la versión, igualar los versos ramplones del original, carentes de toda calidad poética.

πολὺν γέλωτα παρασχὼν τοῖς συμπόταις, καὶ μάλιστα ἐπεὶ ἠγανάκτει μετὰ τοῦτο ὡς ἂν τὰ μέγιστα ἠδικημένος.

gran hilaridad en los comensales, sobre todo porque se hallaba irritado tras el incidente como si hubiera sufrido los mayores agravios.

[43] Οἱ δὲ ἀμφὶ τὸν Ἕρμωνα καὶ Ζηνόθεμιν ἅμα κατέκειντο, ὥσπερ εἴρηται, ὁ μὲν ὑπεράνω ὁ Ζηνόθεμις, ὁ δ᾽ ὑπ᾽ αὐτόν· παρέκειτο δ᾽ αὐτοῖς τὰ μὲν ἄλλα πάντα ἴσα, καὶ ἀνείλοντο εἰρηνικῶς· ἡ δὲ ὄρνις ⟨ἡ πρὸ τοῦ Ἕρμωνος⟩ πιμελεστέρα, οὕτως, οἶμαι, τυχόν. ἔδει δὲ καὶ ταύτας ἀναιρεῖσθαι τὴν ἑαυτοῦ ἑκάτερον. ἐν τούτῳ τοίνυν ὁ Ζηνόθεμις—καί μοι, ὦ Φίλων, πάνυ πρόσεχε τὸν νοῦν, ὁμοῦ γάρ ἐσμεν ἤδη τῷ κεφαλαίῳ τῶν πραχθέντων—ὁ δὴ Ζηνόθεμις, φημί, τὴν παρ᾽ αὐτῷ ἀφεὶς τὴν πρὸ τοῦ Ἕρμωνος ἀνείλετο πιοτέραν, ὡς ἔφην, οὖσαν· ὁ δ᾽ ἀντεπελάβετο καὶ οὐκ εἴα πλεονεκτεῖν. βοὴ τὸ ἐπὶ τούτοις, καὶ συμπεσόντες ἔπαιον ἀλλήλους ταῖς ὄρνισιν αὐταῖς εἰς τὰ πρόσωπα, καὶ τῶν πωγώνων ἐπειλημμένοι ἐπεκαλοῦντο βοηθεῖν, ὁ μὲν τὸν Κλεόδημον ὁ Ἕρμων, ὁ δὲ Ζηνόθεμις Ἀλκιδάμαντα καὶ Δίφιλον, καὶ συνίσταντο οἱ μὲν ὡς τοῦτον, οἱ δ᾽ ὡς ἐκεῖνον πλὴν μόνου τοῦ Ἴωνος· ἐκεῖνος δὲ μέσον ἑαυτὸν ἐφύλαττεν.

43 Hermón y Zenótemis yacían juntos, como he dicho; Zenótemis más alto, y Hermón más bajo que él. Habíanles servido idénticos manjares, que tomaron en paz, pero la gallina que se hallaba ante Hermón era más cebada, por casualidad sin duda. De éstas también debería haber cogido cada uno la suya, pero al punto Zenótemis —atiéndeme bien, Filón, ahora que estamos en el punto capital de los acontecimientos—, Zenótemis digo, dejó su gallina y tomó la del lado de Hermón, que como dije era más gorda. Hermón también se aferró a ella y no permitía que se aprovechara: griterío al punto; cayeron ambos y se golpeaban entre sí con las propias gallinas en la cara, cogíanse de las barbas y pedían ayuda, Hermón a Cleodemo, Zenótemis a Alcidamante y Dífilo. Los filósofos formaron bandos, unos al lado de éste, otros a favor de aquél, excepto Ión tan sólo, que se mantuvo neutral.

[44] Οἱ δ᾽ ἐμάχοντο συμπλακέντες, καὶ ὁ μὲν Ζηνόθεμις σκύφον ἀράμενος ἀπὸ τῆς τραπέζης κείμενον πρὸ τοῦ Ἀρισταινέτου ῥίπτει ἐπὶ τὸν Ἕρμωνα,

44 Los demás luchaban cuerpo a cuerpo. Zenótemis agarra un tazón que estaba sobre la mesa a la altura de Aristéneto y lo arroja contra Hermón,

κἀκείνου μὲν ἅμαρτε, παραὶ δέ οἱ ἐτράπετ᾽ ἄλλῃ,

y a aquél no alcanzó, que a otro punto errara[27],

διεῖλε δὲ τοῦ νυμφίου τὸ κρανίον ἐς δύο χρηστῷ μάλα καὶ βαθεῖ τραύματι. βοὴ οὖν παρὰ τῶν γυναικῶν ἐγένετο καὶ κατεπήδησαν ἐς τὸ μεταίχμιον αἱ πολλαί, καὶ μάλιστα ἡ μήτηρ τοῦ μειρακίου, ἐπεὶ τὸ

pero partió en dos la cabeza del novio, con una herida bien extensa y profunda. Por ello se originó un griterío entre las mujeres, y la mayoría saltó al medio de la lucha, sobre todo la madre del joven cuando vio la sangre; también la novia saltó de su lecho

[27] *Ilíada* XI 233.

αἷμα εἶδε· καὶ ἡ νύμφη δὲ ἀνεπήδησε φοβηθεῖσα περὶ αὐτοῦ. ἐν τοσούτῳ δὲ ὁ Ἀλκιδάμας ἠρίστευεν τῷ Ζηνοθέμιδι συμμαχῶν, καὶ πατάξας τῇ βακτηρίᾳ τοῦ Κλεοδήμου μὲν τὸ κρανίον, τοῦ Ἕρμωνος δὲ τὴν σιαγόνα ἐπέτριψεν καὶ τῶν οἰκετῶν ἐνίους βοηθεῖν αὐτοῖς ἐπιχειροῦντας κατέτρωσεν· οὐ μὴν ἀπετράποντο ἐκεῖνοι, ἀλλ΄ ὁ μὲν Κλεόδημος ὀρθῷ τῷ δακτύλῳ τὸν ὀφθαλμὸν τοῦ Ζηνοθέμιδος ἐξώρυττε καὶ τὴν ῥῖνα προσφὺς ἀπέτραγεν, ὁ δὲ Ἕρμων τὸν Δίφιλον ἐπὶ ξυμμαχίαν ἥκοντα τοῦ Ζηνοθέμιδος ἀφῆκεν ἐπὶ κεφαλὴν ἀπὸ τοῦ κλιντῆρος.

temiendo por él. Entretanto, Alcidamante destacaba luchando por Zenótemis, y a bastonazos rompió la cabeza de Cleodemo y la mandíbula de Hermón, y dejó malheridos a algunos criados que intentaron defenderlos. Pero el otro bando tampoco se echó atrás: Cleodemo, a dedo tieso, vació el ojo de Zenótemis y, sujetándolo, arrancó su nariz de un mordisco, y Hermón, cuando Dífilo acudía en ayuda de Zenótemis, lo arrojó por la cabeza del diván.

[45] ἐτρώθη δὲ καὶ Ἱστιαῖος ὁ γραμματικὸς διαλύειν αὐτοὺς ἐπιχειρῶν, λάξ, οἶμαι, εἰς τοὺς ὀδόντας ὑπὸ τοῦ Κλεοδήμου Δίφιλον εἶναι οἰηθέντος. ἔκειτο οὖν ἄθλιος κατὰ τὸν αὑτοῦ Ὅμηρον "αἷμ΄ ἐμέων". πλὴν ταραχῆς γε καὶ δακρύων μεστὰ ἦν πάντα. καὶ αἱ μὲν γυναῖκες ἐκώκυον τῷ Χαιρέᾳ περιχυθεῖσαι, οἱ δὲ ἄλλοι κατέπαυον. μέγιστον δὲ ἦν ἁπάντων κακῶν ὁ Ἀλκιδάμας, ἐπεὶ ἅπαξ τὸ καθ΄ αὑτὸν ἐτρέψατο, παίων τὸν προστυχόντα· καὶ πολλοὶ ἄν, εὖ ἴσθι, ἔπεσον εἰ μὴ κατέαξε τὴν βακτηρίαν. ἐγὼ δὲ παρὰ τὸν τοῖχον ὀρθὸς ἐφεστὼς ἑώρων ἕκαστα οὐκ ἀναμιγνὺς ἑαυτὸν ὑπὸ τοῦ Ἱστιαίου διδαχθείς, ὡς ἔστιν ἐπισφαλὲς διαλύειν τὰ τοιαῦτα. Λαπίθας οὖν καὶ Κενταύρους εἶδες ἄν, τραπέζας ἀνατρεπομένας καὶ αἷμα ἐκκεχυμένον καὶ σκύφους ῥιπτομένους.

45 También resultó herido Histieo el gramático al tratar de separarlos, de una patada en los dientes lanzada por Cleodemo, que le había tomado por Dífilo. Yacía, en todo caso, el infeliz, como dice su Homero, «vomitando sangre»[28]. Realmente, todo estaba lleno de agitación y lágrimas: las mujeres se lamentaban apiñadas alrededor de Quéreas, mientras los demás iban apaciguándose. Sin embargo, el mayor de todos los males fue Alcidamante, una vez que hubo derrotado por entero a sus oponentes, golpeando a quien encontraba al paso: muchos, ten por seguro, habrían sucumbido de no habérsele roto el bastón. Yo, en pie, apoyado en la pared, veía todo sin intervenir, por haber aprendido de Histieo cuán arriesgado es mediar en tales ocasiones. Habrías dicho que eran lapitas y centauros, si hubieras visto las mesas volcadas, la sangre fluyendo y los tazones por el aire.

[46] Τέλος δὲ ὁ Ἀλκιδάμας ἀνατρέψας τὸ λυχνίον σκότος μέγα ἐποίησε, καὶ τὸ πρᾶγμα, ὡς τὸ εἰκός, μακρῷ χαλεπώτερον ἐγεγένητο· καὶ γὰρ οὐ ῥᾳδίως εὐπόρησαν φωτὸς ἄλλου, ἀλλὰ πολλὰ ἐπράχθη καὶ

46 Al final Alcidamante derribó la lámpara sumiendo todo en completa oscuridad, y la situación, naturalmente, aún se hizo mucho más terrible, pues no era fácil conseguir otro alumbrado, y en la oscuridad se cometieron

[28] *Ilíada* XV 11.

δεινὰ ἐν τῷ σκότῳ. καὶ ἐπεὶ παρῆν τις λύχνον ποτὲ κομίζων, κατελήφθη Ἀλκιδάμας μὲν τὴν αὐλητρίδα ἀπογυμνῶν καὶ πρὸς βίαν συνενεχθῆναι αὐτῇ σπουδάζων, Διονυσόδωρος δὲ ἄλλο τι γελοῖον ἐφωράθη πεποιηκώς· σκύφος γὰρ ἐξέπεσεν ἐκ τοῦ κόλπου ἐξαναστάντος αὐτοῦ. εἶτ΄ ἀπολογούμενος Ἴωνα ἔφη ἀνελόμενον ἐν τῇ ταραχῇ δοῦναι αὐτῷ, ὅπως μὴ ἀπόλοιτο, καὶ ὁ Ἴων κηδεμονικῶς ἔλεγε τοῦτο πεποιηκέναι.

numerosas fechorías. Cuando alguien vino al fin con una lámpara, fue sorprendido Alcidamante desnudando a la flautista y tratando de violarla. Dionisodoro también quedó en evidencia por una acción ridícula, pues le cayó un tazón del pliegue del vestido al levantarse. Luego, para justificarse, dijo que Ión lo había recogido en el tumulto y se lo había dado para que no se rompiera; Ión, cortésmente, dijo que así lo había hecho.

[47] Ἐπὶ τούτοις διελύθη τὸ συμπόσιον τελευτῆσαν ἐκ τῶν δακρύων αὖθις εἰς γέλωτα ἐπὶ τῷ Ἀλκιδάμαντι καὶ Διονυσοδώρῳ καὶ Ἴωνι. καὶ οἵ τε τραυματίαι φοράδην ἐξεκομίζοντο πονηρῶς ἔχοντες, καὶ μάλιστα ὁ πρεσβύτης ὁ Ζηνόθεμις ἀμφοτέραις τῇ μὲν τῆς ῥινός, τῇ δὲ τοῦ ὀφθαλμοῦ ἐπειλημμένος, βοῶν ἀπόλλυσθαι ὑπ΄ ἀλγηδόνων, ὥστε καὶ τὸν Ἕρμωνα καίπερ ἐν κακοῖς ὄντα—δύο γὰρ ὀδόντας ἐξεκέκοπτο—ἀντιμαρτύρεσθαι λέγοντα, Μέμνησο μέντοι, ὦ Ζηνόθεμι, ὡς οὐκ ἀδιάφορον ἡγῇ τὸν πόνον. καὶ ὁ νυμφίος δὲ ἀκεσαμένου τὸ τραῦμα τοῦ Διονίκου ἀπήγετο ἐς τὴν οἰκίαν ταινίαις κατειλημένος τὴν κεφαλήν, ἐπὶ τὸ ζεῦγος ἀνατεθεὶς ἐφ΄ οὗ τὴν νύμφην ἀπάξειν ἔμελλε, πικροὺς ἄθλιος τοὺς γάμους ἑορτάσας· καὶ τῶν ἄλλων δὲ ὁ Διόνικος ἐπεμελεῖτο δὴ τὰ δυνατά, καὶ καθευδήσοντες ἀπήγοντο ἐμοῦντες οἱ πολλοὶ ἐν ταῖς ὁδοῖς. ὁ μέντοι Ἀλκιδάμας αὐτοῦ ἔμεινεν· οὐ γὰρ ἠδυνήθησαν ἐκβαλεῖν τὸν ἄνδρα, ἐπεὶ ἅπαξ καταβαλὼν ἑαυτὸν ἐπὶ τῆς κλίνης πλαγίως ἐκάθευδε.

47 En ese momento se disolvió el banquete, que acabó volviendo de las lágrimas a la risa gracias a Alcidamante, Dionisodoro e Ión. Los heridos eran evacuados en literas dada su gravedad, sobre todo el anciano Zenótemis, que, con una mano en la nariz y otra en el ojo, decía a gritos que perecía de dolor, hasta el punto que Hermón, a pesar de hallarse malherido —pues había perdido dos dientes—, se enfrentó con él diciéndole: «Recuerda, por tanto, Zenótemis, que no consideras indiferente el sufrimiento». El novio, después que Diónico curó su herida, fue llevado a su casa con la cabeza envuelta en vendas, sobre el carruaje en que debía conducir a la novia, tras celebrar desdichado!— una amarga boda. En cuanto a los demás, Diónico los atendía en la medida de lo posible, y eran acompañados a sus casas a dormir, vomitando la mayoría en las calles. Alcidamante, en cambio, permanecía allí, pues no consiguieron echar al hombre, una vez que se hubo acostado en el diván y dormía a pierna suelta.

[48] Τοῦτό σοι τέλος, ὦ καλὲ Φίλων, ἐγένετο τοῦ συμποσίου, ἢ ἄμεινον τὸ τραγικὸν ἐκεῖνο ἐπειπεῖν,

πολλαὶ μορφαὶ τῶν δαιμονίων,

48 Ahí tienes, noble Filón, el final del banquete; o tal as vez sea mejor añadir aquella conclusión trágica:

Muchas son las figuras de las deidades

πολλὰ δ΄ ἀέλπτως κραίνουσι θεοί,
καὶ τὰ δοκηθέντ΄ οὐκ ἐτελέσθη·

y mucho sin esperarse cumplen los dioses,
mientras lo esperado no alcanza término[29].

ἀπροσδόκητα γὰρ ὡς ἀληθῶς ἀπέβη καὶ ταῦτα. ἐκεῖνό γε μεμάθηκα ἤδη, ὡς οὐκ ἀσφαλὲς ἄπρακτον ὄντα συνεστιᾶσθαι τοιούτοις φιλοσόφοις.

Insospechados resultaron en verdad estos sucesos, mas he aprendido, al menos, esta verdad: no es seguro, para un hombre pacífico, ir de fiesta con semejantes sabios.



[29] Conclusión de tragedia cara a EURÍPIDES (cf. *Alcestis, Andrómaca, Bacantes, Helena* y, ligeramente modificada, *Medea).*